# HERODIANI

# HISTORIARVM

LIBRI OCTO.

NOVA EDITIO ACCVRATA

IN VSVM

PRAELECTIONVM ACADEMICARVM
ET SCHOLARVM.

SCÓLA NORMALA SUPERIORA BUCURESCI
BIBLIOTECA AL. J. ODOBESCU
Biblioteca Centrală Pedag.

LIPSIAE
SVMTIBVS J. A. G. WEIGELII.
LVGDVNI BATAVORVM
APVD S. ET J. LVCHTMANS.
1821.

Biblioteca Centrală Universitară
"Carol I" București
Cota 461

100

B. C. U. "Carol I" - Bucuresti
*C201801187*

BH0 985

BIBLIOTECA
CENTRALĂ
UNIVERSITARĂ "CAROL I"
BUCUREŞTI

# ΗΡΩΔΙΑΝΟΥ

## ΤΗΣ ΜΕΤΑ ΜΑΡΚΟΝ ΒΑΣΙΛΕΙΑΣ

## ΙΣΤΟΡΙΩΝ

## ΒΙΒΛΙΑ ΟΚΤΩ.

# ΗΡΩΔΙΑΝΟΥ

## ΙΣΤΟΡΙΩΝ

## ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

I. Οἱ πλεῖστοι τῶν περὶ συγκομιδὴν ἱστορίας ἀσχο- 1
ληθέντων, ἔργων τε πάλαι γεγονότων μνήμην ἀνα-
νεώσασθαι σπουδασάντων, παιδείας κλέος ἀΐδιον
μνώμενοι, ὅπως μὴ, σιωπήσαντες, λάθοιεν, εἰς
τὸν πολὺν ὅμιλον ἀριθμούμενοι, τῆς μὲν ἀληθείας
ἐν ταῖς ἀφηγήσεσιν ὠλιγώρησαν, οὐχ ἥκιστα δὲ ἐπε-
μελήθησαν φράσεώς τε καὶ εὐφωνίας· θαῤῥοῦντες
ὡς, εἴ τι καὶ μυθῶδες λέγοιεν, τὸ μὲν ἡδὺ τῆς
ἀκροάσεως αὐτοὶ καρπώσονται, τὸ δ' ἀκριβὲς τῆς
ἐξετάσεως οὐκ ἐλεγχθήσεται. εἰσὶ δ' οἳ πρὸς ἔχθραν 2.
ἢ μῖσος τυράννων, κολακείαν τε ἢ τιμὴν βασιλέων,
πόλεώς τε καὶ ἰδιωτῶν, εὐτελῆ καὶ μικρὰ ἔργα λό-
γων ἀρετῇ δόξῃ παρέδωκαν, τῆς ἀληθείας μείζονι.
Ἐγὼ δὲ ἱστορίαν οὐ παρ' ἄλλων ἀποδεξάμενος 3
ἄγνωστόν τε καὶ ἀμάρτυρον, ὑπὸ νεαρᾷ δὲ τῇ τῶν
ἐντευξομένων μνήμῃ, μετὰ πάσης ἀληθοῦς ἀκριβείας
ἤθροισα ἐς συγγραφήν· οὐκ ἀτερπῆ τὴν γνῶσιν καὶ
τοῖς ὕστερον ἔσεσθαι προσδοκήσας ἔργων μεγάλων
τε καὶ πολλῶν ἐν ὀλίγῳ χρόνῳ γενομένων. εἰ γοῦν 4
τις παραβάλοι πάντα τὸν ἀπὸ τοῦ Σεβαστοῦ χρόνον,
ἐξ οὗπερ ἡ Ῥωμαίων δυναστεία μετέπεσεν εἰς μο-
ναρχίαν, οὐκ ἂν εὕροι ἐν ἔτεσι περί που διακοσίοις,

μέχρι τῶν Μάρκου καιρῶν, οὔτε βασιλειῶν οὕτως
ἐπαλλήλους διαδοχάς, οὔτε πολέμων ἐμφυλίων τε
καὶ ξένων τύχας ποικίλας, ἐθνῶν τε κινήσεις, καὶ
πόλεων ἁλώσεις, τῶν τε ἐν τῇ ἡμεδαπῇ καὶ ἐν πολ-
λοῖς Βαρβάροις, γῆς τε σεισμούς, καὶ ἀέρων φθο-
ράς, τυράννων τε καὶ βασιλέων βίους παραδόξους,
πρότερον ἢ σπανίως ἢ μηδ᾽ ὅλως μνημονευθέντας.
5 ὧν οἱ μὲν ἐπιμηκέστερον ἔσχον τὴν ἀρχήν, οἱ δὲ
πρόσκαιρον τὴν δυναστείαν· εἰσὶ δ᾽ οἳ μέχρι προση-
γορίας καὶ τιμῆς ἐφημέρου μόνης ἐλθόντες, εὐθέως
κατελύθησαν. μερισθεῖσα γὰρ ἡ Ῥωμαίων ἀρχὴ ἐν
ἔτεσιν ἑξήκοντα εἰς πλείους δυναστείας, ἢ ὁ χρόνος
ἀπῄτει, πολλὰ καὶ ποικίλα ἤνεγκε καὶ θαύματος
6 ἄξια. οὕτω γὰρ οἱ μὲν τὴν ἡλικίαν πρεσβύτεροι,
τῇ ἐμπειρίᾳ τῶν πραγμάτων, ἐπιμελέστερον ἑαυτῶν
τε καὶ τῶν ὑπηκόων ἦρξαν· οἱ δὲ κομιδῇ νέοι, ῥᾳ-
θυμότερον βιώσαντες, πολλὰ ἐκαινοτόμησαν· διό-
περ εἰκότως ἐν ἡλικίαις τε καὶ ἐξουσίαις διαφόροις
οὐχ ὅμοια γέγονε τὰ ἐπιτηδεύματα. ὡς δ᾽ ἕκαστα
τούτων πέπρακται, κατὰ χρόνους καὶ δυναστείας
διηγήσομαι.

1 II. Τῷ βασιλεύοντι Μάρκῳ θυγατέρες μὲν ἐγέ-
νοντο πλείους, ἄῤῥενες δὲ δύο. τῶν δὲ ἀῤῥένων
τούτων ὁ μὲν ἕτερος κομιδῇ νέος τὸν βίον μετήλ-
λαξε· Βηρίσσιμος δ᾽ ἦν ὄνομα αὐτῷ. τὸν δὲ πε-
ριόντα, Κόμμοδον καλούμενον, ὁ πατὴρ μετὰ πολ-
λῆς ἐπιμελείας ἀνεθρέψατο, πάντοθεν τοὺς ἐν τοῖς
ἔθνεσιν ἐπὶ λόγοις δοκιμωτάτους ἐπὶ συντάξεσιν οὐκ
εὐκαταφρονήτοις καλῶν, ὅπως συνόντες ἀεὶ παιδεύ-
2 οιεν αὐτῷ τὸν υἱόν. τάς τε θυγατέρας, ἐν ὥρᾳ γε-
νομένας, ἐξέδοτο ἀνδράσι τῆς συγκλήτου Βουλῆς
τοῖς ἀρίστοις· οὐ τοὺς γένους μακραῖς διαδοχαῖς
εὐπατρίδας, οὐδὲ τοὺς πλούτου περιβολαῖς λαμπρούς,
κοσμίους δὲ τὸν τρόπον καὶ σώφρονας τὸν βίον,
γαμβροὺς αὐτῷ γενέσθαι θέλων. ταῦτα γὰρ μόνα
ψυχῆς ἴδια καὶ ἀναφαίρετα ἡγεῖτο κτήματα.
3 Ἀρετῆς δὲ πάσης ἔμελεν αὐτῷ· λόγων τε ἀρ-
χαιότητος ἦν ἐραστής, ὡς μηδενὸς μήτε Ῥωμαίων

μήτε Ἑλλήνων ἀπολείπεσθαι. δηλοῖ δὲ ὅσα καὶ εἰς
ἡμᾶς ἦλθεν, ἢ λεχθέντα πρὸς αὐτοῦ, ἢ γραφέντα.
παρεῖχε δὲ καὶ τοῖς ἀρχομένοις ἑαυτὸν ἐπιεικῆ καὶ 4
μέτριον βασιλέα, τούς τε προσιόντας δεξιούμενος,
κωλύων τε τοὺς περὶ αὐτὸν δορυφόρους, ἀποσοβεῖν
τοὺς ἐντυγχάνοντας. μόνος τε βασιλέων φιλοσοφίαν
οὐ λόγοις, οὐδὲ δογμάτων γνώσεσι, σεμνῷ δ᾽ ἤθει
καὶ βίῳ σώφρονι ἐπιστώσατο· πολύ τε πλῆθος ἀν-
δρῶν σοφῶν ἤνεγκεν ἡ τῶν ἐκείνου καιρῶν φορά.
φιλεῖ γάρ πως ἀεὶ τὸ ὑπήκοον ζήλῳ τῆς τοῦ ἄρχον-
τος γνώμης βιοῦν.
Ὅσα μὲν οὖν ἐκείνῳ πέπρακται ἀνδρεῖα καὶ 5
σώφρονα, στρατηγικὴν ἢ πολιτικὴν ἀρετὴν ἔχοντα,
πρός τε τοὺς τὰ ἀρκτῷα τῆς γῆς ἔθνη Βάρβαρα
κατοικοῦντας, πρός τε τοὺς ὑπὸ ταῖς ἀνατολαῖς
ποιουμένους τὸν βίον, πολλοῖς καὶ σοφοῖς ἀνδράσι
συγγέγραπται. ἃ δὲ μετὰ τὴν Μάρκου τελευτὴν παρὰ
πάντα τὸν ἐμαυτοῦ βίον εἶδόν τε καὶ ἤκουσα, ἔστι
δ᾽ ὧν καὶ πείρᾳ μετέσχον, ἐν βασιλικαῖς ἢ δημοσίαις
ὑπηρεσίαις γενόμενος, ταῦτα συνέγραψα.
III. Γηραιὸν ὄντα Μάρκον, καὶ μὴ μόνον 1
ὑφ᾽ ἡλικίας, ἀλλὰ καμάτοις τε καὶ φροντίσι τετρυ-
χωμένον, διατρίβοντά τε ἐν Παίοσι, νόσος χαλεπὴ
καταλαμβάνει. ἐπεὶ δὲ αὐτῷ τὰς πρὸς σωτηρίαν ἐλ-
πίδας φαύλως ἔχειν ὑπώπτευεν, ἑώρα τε τὸν παῖ-
δα τῆς μειρακίων ἡλικίας ἀρχόμενον ἐπιβαίνειν·
δεδιὼς μὴ νεότης ἀκμάζουσα, καὶ ἐν ὀρφανίᾳ ἐξου-
σίαν αὐτοκράτορα καὶ ἀκώλυτον προςλαβοῦσα, μα-
θημάτων μὲν καλῶν καὶ ἐπιτηδευμάτων ἀφηνιάσῃ,
μέθαις δὲ καὶ κραιπάλαις ἐπιδῷ ἑαυτήν· (ῥᾷστα
γὰρ αἱ τῶν νέων ψυχαὶ εἰς ἡδονὰς ἐξολισθαίνουσαι,
ἀπὸ τῶν παιδείας καλῶν μετοχετεύονται·) οἷα δὴ 2
ἄνδρα πολυΐστορα, μάλιστα ἐτάραττε μνήμη τῶν ἐν
νεότητι βασιλείαν παραλαβόντων, τοῦτο μὲν, Διο-
νυσίου τοῦ Σικελιώτου τυράννου, ὃς ἀπὸ τῆς ἄγαν
ἀκρασίας καινὰς ἡδονὰς ἐπὶ μεγίστοις μισθοῖς ἐθη-
ρᾶτο, τοῦτο δὲ αἱ τῶν Ἀλεξάνδρου διαδόχων εἰς
τοὺς ὑπηκόους ὕβρεις τε καὶ βίαι, δι᾽ ὧν τὴν ἐκεί-

3 νου ἀρχὴν κατῄσχυναν· Πτολεμαῖος μὲν, καὶ μέχρις
ἀδελφῆς ἰδίας ἔρωτος προχωρήσας παρά τε τοὺς
Μακεδόνων καὶ Ἑλλήνων νόμους, Ἀντίγονος δὲ,
Διόνυσον πάντα μιμούμενος, καὶ κισσὸν μὲν περιτι-
θεὶς τῇ κεφαλῇ ἀντὶ καυσίας καὶ διαδήματος Μακε-
4 δονικοῦ, θύρσον δὲ ἀντὶ σκήπτρου φέρων. ἔτι δὲ
καὶ μᾶλλον αὐτὸν ἐλύπει τὰ μὴ πρὸ πολλοῦ, ἀλλ᾽
ὑπόγυον ἔχοντα τὴν μνήμην· τά τε Νέρωνι πεπραγ-
μένα, ὃς ἐχώρησε μέχρι μητρῴου φόνου, παρεῖχέ
τε τοῖς δήμοις ἑαυτὸν καταγέλαστον θέαμα, τά τε
Δομετιανῷ τετολμημένα, τῆς ἐσχάτης ὠμότητος οὐ-
δὲν ἀπολείποντα. τοιαύτας δὴ τυραννίδος εἰκόνας
5 ὑποτυπούμενος, ἐδεδίει τε καὶ ἤλπιζεν. οὐ μετρίως
δ᾽ αὐτὸν ἐτάραττον καὶ οἱ Γερμανοὶ γειτνιῶντες,
οὓς οὐδέπω πάντας ἐκεχείρωτο, ἀλλὰ τοὺς μὲν πει-
θοῖ ἐς συμμαχίαν προςηγάγετο, τῶν δὲ καὶ κρατή-
σας ἦν τοῖς ὅπλοις· ἦσαν δέ τινες, οἳ διαδράντες
πρὸς τὸ παρὸν ἀνακεχωρήκεσαν, δέει τῆς παρουσίας
τοιούτου βασιλέως· ὑπώπτευεν οὖν, μὴ τῆς ἡλι-
κίας τοῦ μειρακίου καταφρονήσαντες, ἐπιθῶνται
αὐτῷ. ἐρᾷ γὰρ τὸ Βάρβαρον καὶ ἐπὶ ταῖς τυχού-
σαις ἀφορμαῖς ῥᾷστα κινεῖσθαι.
1 IV. Κυμαίνουσαν οὖν ἔχων τοσαύταις φρον-
τίσι τὴν ψυχὴν, συγκαλέσας τοὺς φίλους, ὅσοι τε
παρῆσαν τῶν συγγενῶν, καὶ τὸν παῖδα παραστησά-
μενος, ἐπειδὴ πάντες συνῆλθον, ἠσυχῇ τοῦ σκίμ-
ποδος κουφίσας ἑαυτὸν, τοιούτων λόγων ἤρξατο·
2 „Ἄχθεσθαι μὲν ὑμᾶς ἐφ᾽ οἷς ὁρᾶτέ με διακεί-
μενον, θαυμαστὸν οὐδέν· φύσει τε γὰρ τὸ ἀνθρώ-
πινον ἐλεεινὸν ἐν ταῖς τῶν ὁμοφύλων συμφοραῖς, τά
τε δεινὰ, ὑπ᾽ ὄψιν πεσόντα, οἶκτον προκαλεῖται
μείζονα. ἐμοὶ δέ τι καὶ πλέον ὑπάρχειν παρ᾽ ὑμῶν,
οἴομαι· ἐκ γὰρ ὧν αὐτὸς διάκειμαι πρὸς ὑμᾶς,
3 ἀμοιβαίαν εὔνοιαν εἰκότως ἤλπικα. νῦν δὲ καιρὸς
εὔκαιρος, ἐμοί τε αἰσθέσθαι, μὴ μάτην πρὸς ὑμᾶς
τοσούτου χρόνου τιμήν τε καὶ σπουδὴν κατατεθεῖσθαι,
ὑμῖν τε, ἀποδοῦναι χάριν, δείξασιν ὅτι ὑπὲρ ὧν
ἐτύχετε, οὐκ ἀμνημονεῖτε. ὁρᾶτε δή μοι τὸν υἱὸν,

ὃν αὐτοὶ ἀνεθρέψασθε, ἄρτι τῆς μειρακίων ἡλικίας
ἐπιβαίνοντα, καὶ δεόμενον, ὥςπερ ἐν χειμῶνι καὶ ζάλῃ,
τῶν κυβερνησόντων, μή ποι φερόμενος ὑπ' ἀτελοῦς
τῆς τῶν δεόντων ἐμπειρίας, εἰς φαῦλα ἐπιτηδεύμα-
τα προσαραχθῇ. γένεσθε δὴ οὖν αὐτῷ ὑμεῖς ἀνθ' 4
ἑνὸς ἐμοῦ πατέρες πολλοί, περιέποντές τε καὶ τὰ
ἄριστα συμβουλεύοντες. οὔτε γὰρ χρημάτων πλῆθος
οὐδὲν αὔταρκες πρὸς τυραννίδος ἀκρασίαν, οὔτε δο-
ρυφόρων φρουρὰ ἱκανὴ ῥύεσθαι τὸν ἄρχοντα, εἰ μὴ
προϋπάρχοι ἡ τῶν ὑπηκόων εὔνοια. μάλιστα δὲ ἐκεῖ- 5
νοι εἰς ἀρχῆς μῆκος ἀκινδύνως ἤλασαν, ὅσοι μὴ
φόβον ἐξ ὠμότητος, πόθον δὲ τῆς αὑτῶν χρηστό-
τητος ταῖς τῶν ἀρχομένων ψυχαῖς ἐνέσταξαν. οὐ
γὰρ οἱ ἐξ ἀνάγκης δουλεύοντες, ἀλλ' οἱ μετὰ πει-
θοῦς ὑπακούοντες, ἀνύποπτοι, καὶ ἔξω κολακείας
προσποιήτου δρῶντές τε καὶ πάσχοντες διατελοῦσιν,
οὐδέ ποτε ἀφηνιάζουσιν, ἢν μὴ βίᾳ καὶ ὕβρει ἐπὶ
τούτῳ ἀχθῶσι. χαλεπὸν δὲ μετρῆσαί τε καὶ ὅρον 6
ἐπιθεῖναι ἐπιθυμίαις, ὑπηρετούσης ἐξουσίας. τοιαῦ-
τα δὲ συμβουλεύοντες αὐτῷ, καὶ ὧν ἀκούει παρών,
ὑπομιμνήσκοντες, ὑμῖν τε αὐτοῖς καὶ πᾶσιν ἄριστον
ἀποδείξετε βασιλέα, τῇ τε ἐμῇ μνήμῃ χαριεῖσθε τὰ
μέγιστα· οὕτω τε μόνως ἀΐδιον αὐτὴν ποιῆσαι δυ-
νήσεσθε."

Τοσαῦτα εἰπόντα τὸν Μάρκον ἐπιπεσοῦσα λει- 7
ποθυμία κατεσίγασεν· ὑπὸ δὲ ἀσθενείας καὶ ἀθυ-
μίας αὖθις ὑπτίαζεν. οἶκτος δὲ πάντας ἐλάμβανε
τοὺς παρόντας, ὡς μηδὲ κατασχόντας τινὰς αὐτῶν
εἰς οἰμωγὴν ἀναβοῆσαι. ὁ μὲν οὖν νυκτός τε καὶ
ἡμέρας ἐπιβιώσας μιᾶς, ἀνεπαύσατο, πόθον τε τοῖς
καθ' αὑτὸν ἀνθρώποις ἐγκαταλιπών, ἀρετῆς τε
ἀΐδιον μνήμην εἰς τὸν ἐσόμενον αἰῶνα. Τελευτή- 8
σαντος δὲ Μάρκου, ἐπειδὴ διεφοίτησεν ἡ φήμη, πᾶν
τε τὸ παρὸν στρατιωτικὸν καὶ τὸ δημῶδες πλῆθος
ὁμοίως πένθει κατείχετο· οὐδέ τις ἦν ἀνθρώπων
τῶν ὑπὸ τὴν Ῥωμαίων ἀρχήν, ὃς ἀδακρυτὶ τοιαύ-
την ἀγγελίαν ἐδέχετο· πάντες δ' ὥςπερ ἐκ μιᾶς φω-
νῆς, οἱ μὲν πατέρα χρηστόν, οἱ δ' ἀγαθὸν βασι-

λέα, γενναῖον δὲ ἕτεροι στρατηγόν; οἱ δὲ σώφρονα καὶ κόσμιον ἄρχοντα ἀνεκάλουν, καὶ οὐδεὶς ἐψεύδετο.

1 V. Ὀλίγων δὲ διελθουσῶν ἡμερῶν, ἐν ὅσαις περὶ τὴν κηδείαν τοῦ πατρὸς τὸν υἱὸν ἀπησχόλουν, ἔδοξε τοῖς φίλοις, προσαγαγεῖν τὸ μειράκιον εἰς τὸ στρατόπεδον, ὡς διαλεχθείη τε τοῖς στρατιώταις, καὶ χρήματα δωρησάμενος, ὡς ἔθος ἐστὶ τοῖς βασιλείαν διαδεχομένοις, μεγαλόφρονι ἐπιδόσει οἰκειώση-
2 ται τὸ στράτευμα. παρηγγέλθη τε δὴ πᾶσιν, ἐλθεῖν εἰς τὸ εἰωθὸς πεδίον αὐτοὺς ὑποδέχεσθαι. προελθὼν δὲ ὁ Κόμμοδος, τάς τε βασιλείους θυσίας ἐπετέλει, καὶ βήματος αὐτῷ εἰς ὕψος ἀρθέντος ἐν μέσῳ τῷ στρατοπέδῳ, ἀνελθὼν ἐπ᾽ αὐτό, καὶ περιστησάμενος τοὺς πατρῴους φίλους, (πολλοὶ δὲ καὶ λόγιοι παρῆσαν αὐτῷ,) ἔλεξε τοιάδε·

3 „Κοινὴν εἶναί μοι πρὸς ὑμᾶς τὴν ἐπὶ τοῖς καταλαβοῦσιν ἀλγηδόνα, καὶ μηδέν τι ἧττον ὑμᾶς ἐμοῦ δυςφορεῖν, ἐμαυτὸν ἀκριβῶς πέπεικα. οὐδὲ γάρ, περιόντος μοι τοῦ πατρὸς, πλεονεκτεῖν ὑμῶν ἠξίουν. ἐκεῖνος γὰρ πάντας ἡμᾶς ὡς ἕνα ἠγάπα. ἔχαιρεν οὖν μᾶλλον συστρατιώτην με ἢ υἱὸν καλῶν· τὴν μὲν γὰρ προςηγορίαν ἡγεῖτο φύσεως, τὴν δ᾽ ἀρετῆς κοινωνίαν. φέρων τέ με πολλάκις νήπιον ὄντα, ταῖς
4 ὑμετέραις ἐνεχείρισε πίστεσι. διόπερ καὶ ῥᾶστα πάσης εὐνοίας μεθέξειν πρὸς ὑμῶν ἤλπικα, τῶν μὲν πρεσβυτέρων τροφεῖά μοι ταῦτα ὀφειλόντων· τοὺς δ᾽ ἡλικιώτας εἰκότως ἂν καὶ συμφοιτητὰς τῶν ἐν ὅπλοις ἔργων ἀποκαλοίην. πάντας γὰρ ὑμᾶς ὡς ἕνα ὁ πατὴρ ἐφίλει τε, καὶ πᾶσαν ἀρετὴν ἐπαίδευεν.
5 Ἔδωκε δὲ μετ᾽ ἐκεῖνον ἐμὲ βασιλέα ἡ τύχη, οὐκ ἐπείςακτον, ὥσπερ οἱ πρὸ ἐμοῦ, προςκτήτῳ σεμνυνόμενοι ἀρχῇ, ἀλλὰ μόνος τε ὑμῖν ἐγὼ ἐν τοῖς βασιλείοις ἀπεκυήθην· καὶ μὴ πειραθέντα με ἰδιωτικῶν σπαργάνων, ἅμα τῷ τῆς γαστρὸς προελθεῖν, ἡ βασίλειος ὑπεδέξατο πορφυρὶς, ὁμοῦ δέ με εἶδεν
6 ἥλιος ἄνθρωπον καὶ βασιλέα. εἰκότως ἂν οὖν ταῦτα λογιζόμενοι, στέργοιτε οὐ δοθέντα ὑμῖν, ἀλλὰ

γεννηθέντα αὐτοκράτορα. ὁ μὲν γὰρ πατὴρ εἰς οὐρανὸν ἀναπτὰς, ὀπαδὸς ἤδη καὶ σύνεδρός ἐστι θεῶν· ἡμῖν δὲ χρὴ μέλειν τῶν ἐν ἀνθρώποις, καὶ τὰ ἐπὶ γῆς διοικεῖν. κατορθοῦν δὲ αὐτὰ καὶ βεβαιοῦν, ὑμέτερον ἔργον, εἰ τά τε τοῦ πολέμου λείψανα μετὰ πάσης ἀνδρείας ἀπαλείψοιτε, καὶ τὴν Ῥωμαίων ἀρχὴν μέχρις Ὠκεανοῦ προαγάγοιτε. ὑμῖν 7
τε γὰρ ταῦτα δόξαν οἴσει, καὶ τὴν τοῦ κοινοῦ πατρὸς μνήμην χάρισιν ἀξίαις οὕτως ἀμείψεσθε· ὃν ἐπακούειν τε τῶν λεγομένων καὶ τὰ πραττόμενα ἐφορᾶν ἡγεῖσθε. εὐδαιμονοίημεν δ᾽ ἂν, τὰ δέοντα πράττοντες ὑπὸ τοιούτῳ μάρτυρι. καὶ τὰ μὲν πρότερον ὑμῖν ἀνδρείως κατορθωθέντα εἰς τὴν ἐκείνου σοφίαν τε καὶ στρατηγίαν τὴν ἀναφορὰν ἔχει· ὅσα δ᾽ ἂν σὺν ἐμοὶ, βασιλεῖ νέῳ, προθύμως ἐπιδείξησθε, τούτων τὴν δόξαν πίστεώς τε ἀγαθῆς καὶ ἀνδρείας ἀποίσεσθε. τό τε ἐν ἡμῖν νέον σεμνότητος πληρώσετε, 8
τῇ τῶν ὑμετέρων ἔργων ἀνδραγαθίᾳ· τό τε βάρβαρον, ἐν ἀρχῇ νέας ἡγεμονίας κωλυθὲν, οὔτε εἰς τὸ παρὸν καταθαρσήσει, τῆς ἡλικίας καταφρονῆσαν, τά τε μέλλοντα φοβήσεται, δέει τῶν πεπειραμένων."

Τοσαῦτα ὁ Κόμμοδος εἰπὼν, καὶ μεγαλόφροσι δωρεαῖς χρημάτων οἰκειωσάμενος τὸ στρατιωτικὸν, εἰς τὴν βασίλειον ἐπανῆλθεν αὐλήν.

VI. Ὀλίγου μὲν οὖν τινος χρόνου πάντα 1
ἐπράττετο τῇ γνώμῃ τῶν πατρῴων φίλων, οἳ πανημέριοι συνῆσαν αὐτῷ τὰ βέλτιστα συμβουλεύοντες, καὶ τοσοῦτον ἐνδιδόντες χρόνον, ὅσον ἐνόμιζον αὐτάρκη πρὸς σώφρονα τοῦ σώματος ἐπιμέλειαν. παρεισδύντες δέ τινες τῶν ἐπὶ τῆς αὐλῆς οἰκετῶν, διαφθείρειν ἐπειρῶντο νέον ἦθος βασιλέως, ὅσοι τε κόλακες τραπέζης, καὶ τὸ εὔδαιμον γαστρὶ καὶ τοῖς αἰσχίστοις μετροῦσιν, ὑπομιμνήσκοντες αὐτὸν τῆς ἐν Ῥώμῃ τρυφῆς, θεάματά τε καὶ ἀκούσματα τερπνὰ διηγούμενοι, τήν τε τῶν ἐπιτηδείων δαψίλειαν καταριθμοῦντες, διαβάλλοντές τε πᾶσαν τὴν ἐπὶ ταῖς ὄχθαις τοῦ Ἴστρου ὥραν, μήτε ὀπώρας εὔφορον, κρυεράν τε ἀεὶ καὶ συννεφῆ. „Οὐ παύσῃ 2

[library stamp]

δὲ, ἔλεγον, ὦ δέσποτα, πηγνύμενόν τε καὶ ὀρυττόμενον πίνων ὕδωρ· ἄλλοι δὲ ἀπολαύσουσι πηγῶν τε θερμῶν καὶ ψυχροῦ νάματος, ἀτμίδων τε καὶ ἀέρων, ὧν Ἰταλία μόνη εὔφορος;" Τοιαῦτα δή τινα τῷ μειρακίῳ ὑποτυπούμενοι, ἤγειρον αὐτοῦ τὰς
3 ὀρέξεις εἰς τὴν ἡδονῶν ἐπιθυμίαν. αἰφνιδίως δὲ καλέσας τοὺς φίλους, ποθεῖν ἔλεγε τὴν πατρίδα· ὁμολογεῖν δὲ τὰς αἰτίας τῆς αἰφνιδίου ὁρμῆς αἰδούμενος, δεδιέναι προςεποιεῖτο, μή τις ἐκεῖσε προκαταλάβοι τὴν βασίλειον ἑστίαν τῶν εὐπατριδῶν πλουσίων, εἶθ' ὥςπερ ἐξ ὀχυρᾶς ἀκροπόλεως, δύναμιν καὶ περιβολὴν συγκροτήσας, ἐπιθῆται τῇ ἀρχῇ· αὐτάρκης δὲ ὁ δῆμος χορηγῆσαι πλῆθος ἐπιλέκτων νεανιῶν.
4 Τοιαῦτά τινα προφασιζομένου τοῦ μειρακίου, οἱ μὲν ἄλλοι συνεστάλησάν τε τὴν ψυχὴν, καὶ σκυθρωπαῖς ταῖς ὄψεσιν εἰς γῆν ἔνευσαν· Πομπηϊανὸς δὲ, ὃς πρεσβύτατός τε ἦν ἁπάντων, καὶ κατ' ἐπιγαμίαν προςήκων αὐτῷ, (συνῴκει γὰρ τῇ πρεσβυτάτῃ τῶν ἀδελφῶν τοῦ Κομμόδου,) „Ποθεῖν μέν σε, ἔφη, τέκνον καὶ δέσποτα, τὴν πατρίδα, εἰκός· καὶ γὰρ
5 αὐτοὶ τῶν οἴκοι ὁμοίᾳ ἐπιθυμίᾳ ἑαλώκαμεν. ἀλλὰ τὰ ἐνταῦθα, προὐργιαίτερα ὄντα καὶ μᾶλλον ἐπείγοντα, ἐπέχει τὴν ἐπιθυμίαν. τῶν μὲν γὰρ ἐκεῖσε καὶ ὕστερον ἐπὶ πλεῖστον αἰῶνα ἀπολαύσεις· ἐκεῖ τε ἡ Ῥώμη, ὅπου ποτ' ἂν ὁ βασιλεὺς ᾖ· τὸν δὲ πόλεμον ἀτελῆ καταλιπεῖν, μετὰ τοῦ ἀπρεποῦς καὶ ἐπισφαλές. θάρσος γὰρ ἐμβαλοῦμεν τοῖς Βαρβάροις, οὐκ ἐπανόδου πόθον, ἀλλὰ φυγὴν καὶ δέος ἡμῶν
6 καταγνοῦσι. καλὸν δέ σοι χειρωσαμένῳ πάντας αὐτοὺς, καὶ τὴν ὑπὸ τῇ ἄρκτῳ ἀρχὴν Ὠκεανῷ ὁρίσαντα, ἐπανελθεῖν οἴκαδε, θριαμβεύοντί τε καὶ δεσμίους ἀπάγοντι καὶ αἰχμαλώτους βασιλεῖς τε καὶ σατράπας Βαρβάρους. τούτοις γὰρ καὶ οἱ πρὸ σοῦ Ῥωμαῖοι μεγάλοι τε καὶ ἔνδοξοι γεγόνασι. δεδιέναι δέ σε οὐ χρὴ, μή τις ἐκεῖ τοῖς πράγμασιν ἐπιθῆται. οἵ τε γὰρ ἄριστοι τῆς Βουλῆς ἐνταῦθα σὺν σοί· ἥ τε στρατιωτικὴ δύναμις, παροῦσα πᾶσα, τῆς σῆς ἀρχῆς προασπίζει· ταμεῖά τε χρημάτων

βασιλικῶν ἐνταῦθα πάντα· ἥ τε τοῦ πατρὸς μνήμη αἰώνιόν σοι πίστιν καὶ εὔνοιαν παρὰ τῶν ἀρχομένων ἐβεβαίωσε."

7 Τοιαῦτά τινα εἰς προτροπὴν καὶ τὴν πρὸς τὰ κρείττονα ὁρμὴν ὁ Πομπηϊανὸς εἰπὼν, διέτρεψε πρὸς ὀλίγον τὸ μειράκιον. αἰδεσθεὶς γὰρ ὁ Κόμμοδος τὰ λεχθέντα, οὐδέν τε οἷόστε ὢν εὐλόγως ἀποκρίνασθαι, τοὺς φίλους ἀπεπέμψατο, φήσας ἀκριβέστερον καθ' αὑτὸν ἐπισκέψασθαι τὸ πρακτέον. 8 ἐγκειμένων δὲ τῶν περὶ αὐτὸν θεραπόντων, οὐκέτι μὲν τοῖς φίλοις οὐδὲν ἐκοινώσατο· ἐκπέμψας δὲ γράμματα, καὶ διανείμας, οἷς ἐδοκίμασε, τῆς ὄχθης τοῦ Ἴστρου τὴν πρόνοιαν, προστάξας τε αὐτοῖς ἀνέχειν τὰς τῶν Βαρβάρων ἐπιδρομὰς, ἐπαγγέλλει τὴν ἔξοδον. οἱ μὲν οὖν διῴκουν τὰ ἐγκεχειρισμένα· οἳ καὶ οὐ πολλῷ χρόνῳ πλείστους τῶν Βαρβάρων ὅπλοις ἐχειρώσαντο, τοὺς δὲ ἐπὶ μεγάλαις συντάξεσιν ἐς φιλίαν ἐπηγάγοντο, ῥᾷστα πείσαντες. 9 φύσει γὰρ τὸ Βάρβαρον φιλοχρήματον· καὶ κινδύνων καταφρονήσαντες, ἢ δι' ἐπιδρομῆς καὶ ἐφόδου τὸ χρειῶδες πρὸς τὸν βίον πορίζονται, ἢ μεγάλων μισθῶν τὴν εἰρήνην ἀντικαταλλάσσονται. ἅπερ ὁ Κόμμοδος εἰδὼς, καὶ τὸ ἀμέριμνον ὠνούμενος, ἀφειδῶς τε ἔχων χρημάτων, πάντα ἐδίδου τὰ αἰτούμενα.

1 VII. Τῆς δὲ ἐξόδου διαγγελθείσης, κίνησις δὴ μεγίστη καταλαμβάνει τὸ στρατόπεδον· καὶ πάντες αὐτῷ συναπελθεῖν ἤθελον, ὡς ἀπαλλαγεῖεν μὲν τῆς ἐν τῇ πολεμίᾳ διατριβῆς, ἀπολαύσειαν δὲ τῆς ἐν Ῥώμῃ τρυφῆς. ἐπειδὴ δὲ διεφοίτησεν ἡ φήμη, ἄγγελοί τε ἧκον κηρύττοντες τὴν τοῦ βασιλέως ἄφιξιν· ὑπερήσθη τε ὁ Ῥωμαίων δῆμος, καὶ χρηστὰς εἶχεν ἐλπίδας, νέου αὐτοκράτορος ἐπιδημίᾳ, πατρῴζειν τὸ μειράκιον ἡγούμενοι. 2 ἀνύσας δὲ τὴν ὁδοιπορίαν ὁ Κόμμοδος μετὰ νεανικῆς σπουδῆς, καὶ διαδραμὼν τὰς ἐν μέσῳ πόλεις, ὑποδεχθείς τε πανταχοῦ βασιλικῶς, καὶ δήμοις ἑορτάζουσιν ἐπιφανείς, ἀσπαστός τε καὶ ποθεινὸς πᾶσιν ὤφθη.

3 Ὡς δὲ πλησίον ἐγένετο τῆς Ῥώμης, πᾶσα τε
ἡ σύγκλητος Βουλὴ, καὶ πανδημεὶ ὅσοι τὴν Ῥώμην
κατῴκουν ἄνθρωποι, μὴ κατασχόντες αὐτῶν, ἀλλ'
ἕκαστος φθάσαι θέλων, δαφνηφόροι τε καὶ πάντα
ἐπιφερόμενοι ἄνθη τότε ἀκμάζοντα, ὡς ἕκαστος
οἷόστε ἦν, πόῤῥω τῆς πόλεως ὑπήντων, θεασόμε-
4 νοι τὸν νέον καὶ εὐγενῆ βασιλέα. ἐπόθουν γὰρ αὐ-
τὸν ἀληθεῖ ψυχῆς διαθέσει, ἅτε παρ' αὐτοῖς γεν-
νηθέντα τε καὶ τραφέντα, καὶ ἄνωθεν ἐκ τριγονίας
βασιλέα τε καὶ εὐπατρίδην ὄντα Ῥωμαίων. τὸ μὲν
γὰρ πρὸς πατρὸς αὐτῷ γένος ἐκ τῶν τῆς συγκλήτου
Βουλῆς ἐπισήμων ἦν· Φαυστῖνα δὲ ἡ μήτηρ βασί-
λισσα γεγένητο, θυγάτηρ τε οὖσα Ἀντωνίνου, τοῦ
Εὐσεβοῦς ἐπικληθέντος, καὶ Ἀδριανοῦ ἔκγονος κα-
τὰ θηλυγονίαν, ἀνήνεγκε δὲ τὸ γένος αὕτη ἐπὶ
Τραϊανὸν πρόπαππον.
5 Γένους μὲν οὖν ὁ Κόμμοδος οὕτως εἶχε· πρὸς
δὲ τῇ τῆς ἡλικίας ἀκμῇ καὶ τὴν ὄψιν ἦν ἀξιοθέα-
τος, σώματός τε συμμετρίᾳ καὶ κάλλει προσώπου
μετ' ἀνδρείας. ὀφθαλμῶν τε γὰρ ἄρθμιαι καὶ πυ-
ρώδεις βολαί, κόμη τε φύσει ξανθὴ καὶ οὔλη, ὡς,
εἴ ποτε φοιτῴη δι' ἡλίου, τοσοῦτον ἐκλάμπειν αὐ-
τῷ πυροειδές τι, ὡς τοὺς μὲν οἴεσθαι ῥίνημα χρυ-
σοῦ προϊόντι ἐπιπάσσεσθαι, τοὺς δὲ ἐκθειάζειν, λέ-
γοντας αἴγλην τινὰ οὐράνιον περὶ τὴν κεφαλὴν συγ-
γεγενῆσθαι αὐτῷ· ἴουλοί τε αὐτοῦ κατιόντες ταῖς
παρειαῖς ἐπήνθουν. τοιοῦτον δὴ θεασάμενοι τὸν
βασιλέα οἱ Ῥωμαῖοι, εὐφημίαις τε παντοδαπαῖς καὶ
6 στεφάνων καὶ ἀνθέων βολαῖς ὑπεδέχοντο. ὡς δ' εἰς
τὴν Ῥώμην εἰςήλασεν, εἴς τε τοῦ Διὸς τὸ τέμενος
καὶ τοὺς ἄλλους νεὼς ἀνελθὼν εὐθύς, τῇ τε Συγκλή-
τῳ καὶ τοῖς ἐν Ῥώμῃ καταλειφθεῖσι στρατιώταις
χαριστήρια ὁμολογήσας τῆς φυλαχθείσης πίστεως,
εἰς τὴν βασίλειον αὐλὴν ἀνεχώρησε.
1 VIII. Χρόνου μὲν οὖν τινος ὀλίγων ἐτῶν, τι-
μὴν πᾶσαν ἀπένεμε τοῖς πατρῴοις φίλοις, πάντα τε
ἔπραττεν ἐκείνοις συμβούλοις χρώμενος. ἐπεὶ δὲ τὴν
πρόνοιαν ἐνεχείρισε τῆς ἀρχῆς ἑαυτῷ, ἐπιστήσας

τοῖς στρατοπέδοις Περέννιον, ἄνδρα τὸ μὲν γένος Ἰταλιώτην, στρατιωτικὸν δ᾽ εἶναι δοκοῦντα, (διὸ καὶ μάλιστα αὐτὸν ἔπαρχον ἐποίησε τῶν στρατοπέδων·) τῇ τοῦ μειρακίου ἀποχρώμενος ἡλικίᾳ ἐκεῖνος, εἴασεν αὐτὸν τρυφαῖς σχολάζοντα καὶ κραιπάλαις, τῆς τε φροντίδος καὶ τῶν βασιλείων καμάτων ἀπῆγεν αὐτόν. καὶ πᾶσαν τὴν διοίκησιν τῆς ἀρχῆς 2
αὐτὸς ἀνεδέξατο πλούτου τε ἀκρατήτῳ ἐπιθυμίᾳ, καὶ τῶν μὲν προςκτωμένων ἀεὶ καταφρονήσει, τῶν δ᾽ οὔπω παρόντων ἀπλήστῳ ἀντιποιήσει· τούς τε πατρῴους φίλους πρῶτος διαβάλλειν ἤρξατο, καὶ, ὅσοι πλούσιοί τε ἦσαν καὶ εὐγενεῖς, τούτους εἰς ὑποψίαν ἄγων, τὸ μειράκιον ἐφόβει, ὡς ἂν αὐτοὺς διαχρησάμενος, ἀφορμὴν αὐτῷ παράσχοι καὶ ἐξουσίαν ἁρπάζειν τὰ ἐκείνων κτήματα.

Μέχρι μὲν οὖν τινος ἐπεῖχε τὸν νεανίσκον ἥ τε 3
τοῦ πατρὸς μνήμη, καὶ ἡ πρὸς τοὺς φίλους αἰδώς. ἀλλὰ γὰρ, ὥςπερ τινὸς πονηρᾶς καὶ βασκάνου τύχης ἀνατρεπούσης αὐτοῦ τὸ ἔτι σῶφρον καὶ κόσμιον, συνέβη τι τοιοῦτο. Λουκίλλα ἦν τῷ Κομμόδῳ πρεσβυτάτη πάντων ἀδελφή· αὕτη πρότερον Λουκίῳ Βήρῳ αὐτοκράτορι συνῴκει, ὃν κοινωνὸν τῆς βασιλείας Μάρκος ποιησάμενος, ἐκδούς τε αὐτῷ τὴν θυγατέρα, δεσμὸν εὐνοίας ὀχυρώτατον τὴν πρὸς αὐτὸν ἐπιγαμίαν ἐποιήσατο. ἀλλ᾽ ἐπεὶ συνέβη τὸν Λούκιον τελευτῆσαι, μενόντων τῇ Λουκίλλῃ τῶν τῆς βασιλείας συμβόλων, Πομπηϊανῷ ὁ πατὴρ αὐτὴν ἐξέδοτο. οὐδὲν ἧττον μέντοι καὶ ὁ Κόμμοδος ἐφύ- 4
λαττε τὰς τιμὰς τῇ ἀδελφῇ. καὶ γὰρ ἐπὶ τοῦ βασιλείου θρόνου καθῆστο ἐν τοῖς θεάτροις, καὶ τὸ πῦρ προεπόμπευεν αὐτῆς. ἐπεὶ δὲ ὁ Κόμμοδος γυναῖκα ἠγάγετο, Κρισπῖναν ὄνομα, ἀνάγκη τε ἐγένετο τὴν προεδρίαν ἀπονέμεσθαι τῇ τοῦ βασιλεύοντος γυναικί, δυςφόρως τοῦτο φέρουσα ἡ Λουκίλλα, καὶ τὴν ἐκείνης τιμὴν ἑαυτῆς ὕβριν νομίζουσα, τὸν μὲν ἑαυτῆς ἄνδρα Πομπηϊανὸν εἰδυῖα ἀγαπῶντα τὸν Κόμμοδον, οὐδὲν αὐτῷ περὶ ἐπιθέσεως τῆς ἀρχῆς ἀνακοινοῦται· Κοδράτου δὲ, νεανίσκου εὐγενοῦς τινος καὶ πλου-

σίου, ἐφ' οὗ καὶ λανθανούσῃ συνουσίᾳ διεβάλλετο,
πεῖραν τῆς γνώμης λαμβάνουσα, περί τε τῆς συν-
εδρίας χαλεπῶς ἀπωδύρετο, καὶ κατ' ὀλίγον ἀνέ-
πεισε τὸν νεανίσκον, ὀλέθρια βουλεύσασθαι ἑαυτῷ
5 τε καὶ πάσῃ τῇ Συγκλήτῳ. συνωμότας γὰρ ἐκεῖνος
τῆς ἐπιβουλῆς λαβὼν τινας τῶν ἐξεχόντων, ἀναπεί-
θει νεανίσκον τινά, καὶ αὐτὸν ὄντα τῆς Βουλῆς,
Κυιντιανὸν ὄνομα, προπετῆ δὲ καὶ θρασὺν, λαβόν-
τα ἐγχειρίδιον ὑπὸ κόλπου, καιρὸν φυλάξαντα καὶ
τόπον ἐπιτήδειον, ἐπιπεσεῖν τε τῷ Κομμόδῳ, καὶ
φονεῦσαι· τὰ λοιπὰ φήσας αὐτὸς κατορθώσασθαι
6 χρημάτων ἐπιδόσει. ὁ δ' ὑποστὰς ἐν τῇ τοῦ ἀμφι-
θεάτρου εἰσόδῳ, (ζοφώδης δὲ αὕτη, καὶ λήσεσθαι
ἤλπισε,) γυμνώσας τὸ ξιφίδιον, ἐπελθών τε αἰφνι-
δίως τῷ Κομμόδῳ, καὶ μεγάλῃ φωνῇ προειπὼν,
ὑπὸ τῆς Συγκλήτου αὐτῷ ἐπιπεπέμφθαι·
τρῶσαι μὴ φθάσας, ἀλλ', ἐν ᾧ περὶ τὴν τῶν ῥη-
μάτων προφορὰν ἠσχολεῖτο καὶ τὴν δεῖξιν τοῦ ξίφους,
συλληφθεὶς ὑπὸ τῶν σωματοφυλάκων τοῦ βασιλέως,
δίκην ἀνοίας ὑπέσχεν, ὃς προεῖπε τὸ βεβουλευμένον
μᾶλλον ἢ ἔδρασε· παρέσχε τε αὐτῷ μὲν προγνω-
σθέντι ἁλῶναι, ἐκείνῳ δὲ προμαθόντι φυλάξασθαι.
7 Αὕτη μὲν δὴ πρώτη καὶ μεγίστη αἰτία τῷ μει-
ρακίῳ μίσους ἐγένετο πρὸς τὴν σύγκλητον Βουλήν·
ἔτρωσέ τε αὐτοῦ τὴν ψυχὴν τὰ λεχθέντα, καὶ κοι-
νοὺς ἐχθροὺς πάντας ἡγεῖτο, μεμνημένος ἀεὶ τῆς
8 τοῦ ἐπιδραμόντος φωνῆς. ὑπῆρξε δὲ καὶ τῷ Πε-
ρεννίῳ πρόφασίς τε καὶ ὑπόθεσις αὐτάρκης. ἐκκό-
πτειν γὰρ ἀεὶ καὶ κολούειν αὐτῷ συνεβούλευε τοὺς
ὑπερέχοντας· ὧν ἁρπάζων τὰς οὐσίας, ῥᾷστα
πλουσιώτατος ἐγένετο τῶν καθ' αὐτὸν ἀνθρώπων.
γενομένης δ' ἐξετάσεως διὰ τοῦ Περεννίου ἀκριβεστέ-
ρας, τήν τε ἀδελφὴν ὁ Κόμμοδος διεχρήσατο, καὶ
πάντας ἀφειδῶς, τούς τε ὄντας ἐν τῇ συνωμοσίᾳ,
καὶ τοὺς ἐφ' οἵαις δήποτε διαβληθέντας ὑποψίαις.
1 IX. Ὁ δὲ Περέννιος ἀποσκευασάμενος πάντας,
οὓς καὶ ὁ Κόμμοδος ᾐδεῖτο, καὶ ὅσοι πατρῴαν αὐτῷ
εὔνοιαν ἐπεδείκνυντο, τῆς τε ἐκείνου σωτηρίας προ-

μήθειαν εἶχον, ποιησάμενός τε αὐτὸν ἐπ' ἐξουσίαν, ἐπεβούλευε τῇ ἀρχῇ, καὶ τοῖς τε υἱοῖς ἑαυτοῦ, νεανίαις οὖσιν, ἐγχειρίσαι πείθει τὸν Κόμμοδον τὴν πρόνοιαν τῶν Ἰλλυρικῶν στρατευμάτων· αὐτός τε πλεῖστα χρήματα ἤθροιζεν, εἰς τὸ ἐπιδόσεσι λαμπραῖς ἀποστῆσαι τὸ στρατιωτικόν. οἱ δὲ παῖδες αὐτοῦ λανθάνοντες συνεκρότουν δύναμιν, ὡς ἂν τοῦ Περεννίου κατεργασαμένου τὸν Κόμμοδον ἐπιθεῖντο τῇ ἀρχῇ.

Ἐγνώσθη δ' ἡ ἐπιβουλὴ παραδόξῳ τρόπῳ. ἱερὸν 2
ἀγῶνα τελοῦσι Ῥωμαῖοι Διῒ Καπετωλίῳ, θεάματά τε [σοφίας] καὶ ἰσχύος πάντα ἀθροίζεται, ὡς εἰς βασιλίδα πόλιν πανηγυρίζουσαν. θεατὴς δὲ καὶ ἀθλοθέτης σὺν τοῖς λοιποῖς ἱερεῦσιν, οὓς ἐκ περιόδων χρόνου ἡ τάξις καλεῖ, ὁ βασιλεὺς γίγνεται. κατελ- 3
θόντος δὲ τοῦ Κομμόδου ἐπὶ τὴν ἀκρόασιν τῶν ἐνδόξων ἀγωνιστῶν, καὶ αὐτοῦ μὲν προκαθίσαντος ἐν τῇ βασιλείῳ ἕδρᾳ, πληρωθέντος δὲ τοῦ θεάτρου μετὰ πάσης εὐκοσμίας, τῶν τε ἐν ἀξιώσεσιν ἐν ἐξαιρέτοις ἕδραις, καὶ, ὡς ἑκάστοις διετέτακτο, ἱδρυμένων, πρίν τι λέγεσθαι ἢ πράττεσθαι ἐπὶ τῆς σκηνῆς, ἀνὴρ φιλοσόφου φέρων σχῆμα, (βάκτρον γὰρ ἦν αὐτῷ μετὰ χεῖρας, ἡμιγύμνῳ τε αὐτῷ ἐκκρεμὴς πήρα,) εἰςδραμών, καὶ στὰς ἐν μέσῃ τῇ σκηνῇ, τῷ τε τῆς χειρὸς νεύματι τὸν δῆμον κατασιγάσας, „Οὐ 4
πανηγυρίζειν σοι καιρός, ἔφη, Κόμμοδε, νῦν, οὐδὲ θέαις καὶ ἑορταῖς σχολάζειν. ἐπίκειται γάρ σου τοῖς αὐχέσι τὸ τοῦ Περεννίου ξίφος· καὶ εἰ μὴ φυλάξῃ κίνδυνον, οὐκ ἐπαιωρούμενον, ἀλλ' ἤδη παρόντα, λήσεις ἀπολούμενος. αὐτός τε γὰρ ἐνταῦθα δύναμιν ἐπὶ σοὶ καὶ χρήματα ἀθροίζει, οἵ τε παῖδες αὐτῷ τὴν Ἰλλυρικὴν στρατιὰν ἀναπείθουσιν. εἰ δὲ μὴ φθάσεις, διαφθείρῃ.“

Ταῦτα εἰπόντος αὐτοῦ, εἴτε ὑπό τινος δαιμο- 5
νίου τύχης ἐπειχθέντος, εἴτε καὶ τολμήσαντος ἵνα δόξαν ἄρηται, πρότερον ἄγνωστος καὶ ἄσημος ὤν, εἴτε καὶ ἐλπίσαντος ἀμοιβῆς μεγαλοδώρου παρὰ τοῦ βασιλέως τεύξεσθαι, ἀφασία τὸν Κόμμοδον κατα-

BIBLIOTECA

λαμβάνει. καὶ πάντες ὑπώπτευον μὲν τὰ λεχθέντα,
πιστεύειν δὲ οὐ προσεποιοῦντο. κελεύει δὲ αὐτὸν
συλληφθῆναι ὁ Περέννιος, οἷά τε μεμηνότα καὶ
ψευδῆ λέγοντα πυρὶ παραδοθῆναι. ὁ μὲν δὴ ἀκαί-
ρου παῤῥησίας τοιαύτην ὑπέσχε δίκην.
6 Οἱ μέντοι περὶ τὸν Κόμμοδον, ὅσοι τε εὐνοεῖν
προσεποιοῦντο, καὶ πάλαι μὲν ἀπεχθῶς πρὸς τὸν
Περέννιον διακείμενοι, (βαρὺς γὰρ καὶ ἀφόρητος ἦν
ὑπεροψίᾳ καὶ ὕβρει,) τότε καιρὸν εὔκαιρον ἔχοντες,
διαβάλλειν ἐπειρῶντο. ἐχρῆν τε ἅμα τὸν Κόμμοδον
τὴν ἐπιβουλὴν ἐκφυγεῖν, καὶ τὸν Περέννιον σὺν τοῖς
7 παισὶ διολέσθαι κακῶς. ἦλθον γὰρ μετ᾽ οὐ πολὺ
στρατιῶταί τινες, λαθόντες τὸν τοῦ Περεννίου παῖ-
δα, καὶ νομίσματα ἐκόμισαν ἐκτετυπωμένα τὴν ἐκεί-
νου εἰκόνα· λαθόντες δὲ καίτοι ἔπαρχον ὄντα τὸν
Περέννιον, καὶ δείξαντες τῷ Κομμόδῳ τὰ νομίσμα-
τα, διδάξαντές τε τῆς ἐπιβουλῆς τὰ λανθάνοντα,
αὐτοὶ μὲν ἔτυχον μεγάλων δωρεῶν.
8 Ἀγνοοῦντος δὲ ταῦτα τοῦ Περεννίου, μηδέν
τέ τι τοιοῦτον προσδεχομένου, νύκτωρ ὁ Κόμμοδος
πέμψας ἀποτέμνει τὴν κεφαλήν· καὶ τὴν ταχίστην,
ὅπως τὴν τῶν πραττομένων γνῶσιν φθάσωσιν, ἐκ-
πέμπει τοὺς πορευσομένους ὀξυτέρῳ δρόμῳ, ἐπιστῆ-
ναί τε δυνησομένους τῷ παιδὶ τοῦ Περεννίου, τὰ
ἐπὶ τῆς Ῥώμης ἀγνοοῦντι, γράμματά τε φιλικὰ
ποιήσας, καὶ μείζοσι φήσας καλεῖν ἐλπίσιν αὐτόν,
9 ἥκειν κελεύει. ὁ δὲ μήτε τι τῆς παρασκευῆς πω καὶ
τῶν βεβουλευμένων, μήτε τι τῶν κατὰ τὸν πατέρα
εἰδώς, τῶν τε ἀγγέλων εἰπόντων, ταῦτα καὶ τὸν
πατέρα ἐντετάλθαι ῥήμασι, μηδὲν δὲ ἐπεσταλκέναι,
τοῖς βασιλείοις ἀρκούμενον γράμμασι, πιστεύσας ὁ
νεανίας, ἀσχάλλων μὲν καὶ δυσφορῶν, ὅτι δὴ ἀτε-
λῆ κατέλιπε τὰ βεβουλευμένα, ὅμως δὲ θαῤῥῶν τῇ
τοῦ πατρὸς ὡς ἔτι συνεστώσῃ δυνάμει, ποιεῖται τὴν
ἔξοδον. γενόμενον δὲ αὐτὸν κατὰ τὴν Ἰταλίαν, οἷς
τοῦτο ἐντέταλτο, διεχρήσαντο. τοιοῦτον μὲν δὴ τέ-
λος ἐκείνους κατέλαβεν. ὁ δὲ Κόμμοδος δύο τοὺς
ἐπάρχους καταστήσας, ἀσφαλέστερον ᾠήθη μὴ ἑνὶ

πιστεύειν τοσαύτην ἐξουσίαν· μερισθεῖσαν δὲ αὐτὴν ἀσθενεστέραν ἔσεσθαι ἤλπισε πρὸς τὴν βασιλείας ἐπιθυμίαν.

X. Χρόνου δὲ οὐ πολλοῦ διαγενομένου, ἑτέρα 1
τις ἐπιβουλὴ τοιαύτη κατὰ τὸ αὐτὸ συνεσκευάσθη. Μάτερνος ἦν τις, στρατιώτης μὲν πρότερον, πολλὰ δὲ καὶ δεινὰ τολμήσας· τήν τε τάξιν λιπὼν, καὶ πείσας ἑτέρους ἀπὸ τῶν αὐτῶν ἔργων συναποδρᾶν, χεῖρα πολλὴν κακούργων ἐν ὀλίγῳ ἀθροίσας χρόνῳ, τὰ μὲν πρῶτα κώμαις τε καὶ ἀγροῖς ἐπιτρέχων ἐλῄστευεν· ἐπεὶ δὲ πολλῶν χρημάτων ἐγκρατὴς ἐγένετο, μεῖζόν τι πλῆθος ἤθροισε κακούργων μεγάλαις τε δωρεῶν ὑποσχέσεσι καὶ τῶν ἁλισκομένων κοινωνίᾳ, ὡς μηκέτι λῃστῶν, ἀλλὰ καὶ πολεμίων
ἔχειν ἀξίωμα. πόλεσι γὰρ ἤδη μεγίσταις ἐπετίθεντο, 2
καὶ τὰ ἐν αὐταῖς δεσμωτήρια βίᾳ ῥηγνύντες, τοὺς ἐφ' οἵαις δὴ καθειρχθέντας αἰτίαις δεσμῶν ἐλευθέρους ἀφιέντες, ἄδειάν τε ὑπισχνούμενοι, εὐεργεσίαις ἐς τὴν συμμαχίαν προςήγοντο· πᾶσάν τε κατατρέχοντες τὴν Κελτῶν καὶ Ἰβήρων χώραν, πόλεσί τε ταῖς μεγίσταις ἐπιόντες, καὶ μέρη μὲν ἐμπιπράντες, τὰ δὲ λοιπὰ ἁρπαγὴν ποιούμενοι, ἀνεχώρουν.

Ὡς δὲ ταῦτα ἐδηλώθη τῷ Κομμόδῳ, μετὰ πά- 3
σης ὀργῆς τε καὶ ἀπειλῆς ἐπιστέλλει τοῖς τῶν ἐθνῶν ἡγουμένοις, ῥαθυμίαν ἐγκαλῶν, καὶ κελεύει στρατὸν ἐπ' αὐτοὺς ἀθροισθῆναι. μαθόντες δὲ ἐκεῖνοι δύναμιν ἀγειρομένην ἐπ' αὐτούς, τῶν μὲν χωρίων, ἃ ἐπόρθουν, ἀπέστησαν· λαθόντες δὲ διὰ ταχείας καὶ ἀβάτου ὁδοιπορίας κατ' ὀλίγους εἰς τὴν Ἰταλίαν παρεδύοντο· καὶ περὶ βασιλείας ἤδη καὶ μειζόνων
πραγμάτων ὁ Μάτερνος ἐβουλεύετο. ἐπεὶ γὰρ αὐτῷ 4
τὰ προπεπραγμένα πάσης ἐλπίδος μεῖζον ἦν προχωρήσαντα, ᾠήθη δεῖν μέγα τι δράσας κατορθῶσαι, ἢ, ἐπείπερ ἅπαξ ἐν κινδύνῳ καθειστήκει, μὴ ἀσήμως, μηδ' ἀδόξως τελευτῆσαι. ἐπεὶ δὲ αὐτῷ μὴ τοσαύτην ὑπάρχειν δύναμιν ἡγεῖτο, ὡς ἐξ ἀντιστάσεως ἰσοῤῥόπου καὶ φανερᾶς ἐφόδου συστῆναι πρὸς τὸν Κόμμοδον, (τό τε γὰρ πλῆθος τοῦ Ῥωμαίων



BIBLIOTECA CENTRALĂ UNIVERSITARĂ "CAROL I"
BIBLIOTECA Centrală Pedag.
C 20180/187

δήμου ἐλογίζετο εὔνοον ἔτι τῷ Κομμόδῳ ὑπάρχον,
τήν τε τῶν περὶ αὐτὸν δορυφόρων εὔνοιαν·) τέχνῃ
καὶ σοφίᾳ ἤλπισε περιέσεσθαι· καὶ μηχανᾶται
τοιόνδε τι.
5 Ἦρος ἀρχῇ ἑκάστου ἔτους, ὡρισμένης ἡμέρας,
Μητρὶ θεῶν πομπὴν τελοῦσι Ῥωμαῖοι· καὶ πάντα,
ὅσα παρ' ἑκάστοις πλούτου σύμβολα, κειμήλιά τε
βασιλέων, ὕλης τε ἢ τέχνης θαύματα, τῆς θεοῦ
προπομπεύει. ἄνετός τε πᾶσι δέδοται ἐξουσία παν-
τοδαπῆς παιδιᾶς, ἕκαστός τε ὃ βούλεται σχῆμα
ὑποκρίνεται· οὐδ' ἔστιν οὕτω μέγα ἢ ἐξαίρετον
ἀξίωμα, ὃ μὴ παντὶ τῷ βουλομένῳ ἀμφιεσθέντι,
ὑπάρχει παῖξαί τε καὶ κρύψαι τὴν ἀλήθειαν, ὡς
μὴ ῥᾳδίως διαγνῶναι τόν τε ὄντα καὶ τὸν μιμούμε-
6 νον. ἔδοξε δὴ τῷ Ματέρνῳ καιρὸς ἐπιτήδειος εἶναι
εἰς τὸ τὴν ἐπιβουλὴν λαθεῖν. ἤλπισε γὰρ, αὐτός
τε ἀναλαβὼν τὸ τῶν δορυφόρων σχῆμα, καὶ τοὺς
σὺν αὐτῷ ὁπλίσας ὁμοίως, ἀναμίξας τε τῷ πλήθει
τῶν αἰχμοφόρων, καὶ τῆς πομπῆς νομισθεὶς μέρος,
μηδενός τε προφυλαττομένου αἰφνιδίως ἐπιπεσὼν,
7 τὸν Κόμμοδον διαχρήσασθαι. ἀλλὰ προδοσίας γε-
νομένης, καί τινων τῶν σὺν αὐτῷ προκατελθόντων
εἰς τὴν πόλιν, καὶ τὴν ἐπιβουλὴν κατειπόντων,
(φθόνος γὰρ αὐτοὺς εἰς τοῦτο παρώξυνεν, εἰ δὴ
ἔμελλον ἀντὶ λῃστοῦ δεσπότην ἕξειν καὶ βασιλέα·)
πρὶν ἐλθεῖν τὴν ἑορτὴν, αὐτός τε ὁ Μάτερνος συλ-
ληφθεὶς τὴν κεφαλὴν ἀπετμήθη, καὶ οἱ συνωμόται
ἀξίας ὑπέσχον δίκας. ὁ δὲ Κόμμοδος θύσας τε τῇ
θεῷ, καὶ χαριστήρια ὁμολογήσας, τὴν ἑορτὴν ἐπε-
τέλει, παρέπεμπέ τε τὴν θεὸν χαίρων· καὶ σωτή-
ρια τοῦ βασιλέως ὁ δῆμος μετὰ τῆς ἑορτῆς ἐπαν-
ηγύριζε.

1 XI. Θρησκεύουσι δὲ μάλιστα τὴν θεὸν τήνδε
Ῥωμαῖοι ἐξ αἰτίας τοιαύτης, ὡς ἱστορίᾳ παρειλήφα-
μεν, ἧς ἐπιμνησθῆναι ἔδοξε διὰ τὴν παρ' Ἑλλήνων
τισὶν ἀγνωσίαν. αὐτὸ μὲν τὸ ἄγαλμα διοπετὲς, ὥς
λέγουσιν· οὔτε δὲ τὴν ὕλην, οὔτε, τεχνιτῶν ὅστις
ἐποίησεν, ἐγνωσμένον, οὐδὲ ψαυστὸν χειρὸς ἀν-

θρωπίνης. τοῦτο δὲ πάλαι μὲν ἐξ οὐρανοῦ κατε-
νεχθῆναι λόγος εἴς τινα τῆς Φρυγίας χῶρον, Πεσ-
σινοῦς δὲ ὄνομα αὐτῷ, τὴν δὲ προσηγορίαν λαβεῖν
τὸν τόπον ἐκ τοῦ πεσόντος ἀγάλματος ἐξ οὐρανοῦ,
καὶ πρῶτον ἐκεῖσε ὀφθῆναι. ὡς δὲ παρ' ἑτέροις εὕ- 2
ρομεν, Ἴλῳ τῷ Φρυγὶ καὶ Ταντάλῳ τῷ Λυδῷ πό-
λεμον ἐκεῖ γενέσθαι λέγουσιν, οἱ μὲν περὶ ὅρων, οἱ
δὲ περὶ τῆς Γανυμήδους ἁρπαγῆς· ἰσοῤῥόπου δὲ
ἐπὶ πολὺ τῆς μάχης γενομένης, ἑκατέρωθεν πεσεῖν
ἱκανούς, καὶ τὴν συμφορὰν ὄνομα δοῦναι τῷ χωρίῳ.
ἔνθα καὶ τὸν Γανυμήδην ἁρπασθέντα, ἀφανῆ γε-
νέσθαι λόγος, ἀνθελκόντων αὐτὸν τοῦ ἀδελφοῦ καὶ
τοῦ ἐραστοῦ· ἀφανοῦς δὲ γενομένου τοῦ σώματος,
ἐκθειασθῆναι τὸ πάθος τοῦ μειρακίου ἐς μῦθον
καὶ τὴν Διὸς ἁρπαγήν. ἐν δὲ τῷ προειρημένῳ Πεσ-
σινοῦντι πάλαι μὲν Φρύγες ὠργίαζον ἐπὶ τῷ ποτα-
μῷ Γάλλῳ παραῤῥέοντι, ἀφ' οὗ τὴν ἐπωνυμίαν φέ-
ρουσιν οἱ τῇ θεῷ τομίαι ἱερωμένοι. ἐπεὶ δὲ Ῥω- 3
μαίων ηὔξετο τὰ πράγματα, φασὶν αὐτοῖς χρησθῆ-
ναι, μενεῖν τε τὴν ἀρχὴν καὶ εἰς μέγα προχωρή-
σειν, εἰ τὴν Πεσσινουντίαν θεὸν μεταγάγοιεν ὡς
αὐτούς. πέμψαντες δὲ πρέσβεις εἰς Φρύγας, τὸ
ἄγαλμα ᾔτουν· ἔτυχον δὲ ῥᾳδίως, συγγένειαν προ-
βαλλόμενοι, καὶ τὴν ἀπ' Αἰνείου τοῦ Φρυγὸς εἰς
αὐτοὺς διαδοχὴν καταλέγοντες. κομισθὲν δὲ ἐπὶ νεὼς
τὸ ἄγαλμα, καὶ γενόμενον ἐν ταῖς τοῦ Θύμβριδος
ἐκβολαῖς, (ταύταις γὰρ ἀντὶ λιμένων ἐχρῶντο Ῥω-
μαῖοι·) ἔστησε θείᾳ δυνάμει τὸ σκάφος. ἐπὶ πολὺ 4
δὲ πανδημεὶ τῶν Ῥωμαίων τὴν ναῦν ἐφελκόντων,
ἀντεχούσης τῆς ἰλύος, οὐ πρότερον ἡ ναῦς ἀνέ-
δραμε, πρὶν ἢ τὴν ἱέρειαν ἐνεχθῆναι τῆς θεοῦ.
[ἥτις τῆς Ἑστίας ἦν.] ταύτην ἔδει παρθενεύεσθαι·
αἰτίαν δὲ διαφθορᾶς εἶχεν. ὡς μέλλουσα δὲ κριθή-
σεσθαι, ἱκετεύει τὸν δῆμον, ἐπιτρέψαι τῇ Πεσσι-
νουντίᾳ θεῷ τὴν κρίσιν· καὶ λυσαμένη τὴν ζώνην,
ἐπαφῆκε τῇ πρώρᾳ τῆς νεώς, προσευξαμένη, εἰ
παρθένος εἴη καὶ ἁγνή, πεισθῆναι τὸ σκάφος.
ῥᾳδίως δέ, τῆς ζώνης ἐξηρτημένης, ἡ ναῦς ἠκο- 5

λούθησεν· ὁμοῦ δὲ τὸ ἐναργὲς τῆς θεοῦ καὶ τὸ σεμνὸν τῆς παρθένου Ῥωμαῖοι ἐθαύμασαν. τοσαῦτα μὲν δὴ τῆς Πεσσινουντίας θεοῦ φιλοτιμότερον ἱστορήσθω, οὐκ ἄχαριν ἕξοντα γνῶσιν τοῖς τὰ Ῥωμαίων οὐκ ἀκριβοῦσιν. ὁ δὲ Κόμμοδος, ἐκφυγὼν τὴν Ματέρνου ἐπιβουλὴν, πλείονί τε περὶ αὑτὸν ἐχρῆτο φρουρᾷ, καὶ σπανίως τοῖς δήμοις ἐπεφαίνετο, τὰ πλεῖστα ἐν προαστείοις καὶ τοῖς ἀπωτέρω τῆς πόλεως βασιλικοῖς κτήμασι διατρίβων, καὶ ἑαυτὸν δικαστηρίων ἀπείργων καὶ βασιλικῶν πράξεων.

1 XII. Συνέβη δὲ κατ᾿ ἐκεῖνο καιροῦ λοιμώδη νόσον κατασχεῖν τὴν Ἰταλίαν· μάλιστα δὲ τὸ πάθος τῇ Ῥωμαίων πόλει ἤκμασεν, ἅτε πολυανθρώπῳ τε οὔσῃ, καὶ τοὺς πανταχόθεν ὑποδεχομένῃ. πολλή τέ τις φθορὰ ἐγένετο ὑποζυγίων ἅμα καὶ ἀνθρώπων. τότε ὁ Κόμμοδος, συμβουλευσάντων αὐτῷ τινῶν
2 ἰατρῶν, εἰς τὴν Λαύρεντον ἀνεχώρησεν. εὐψυχέστερον γὰρ τὸ χωρίον καὶ μεγίστοις κατάσκιον δαφνηφόροις ἄλσεσιν, (ὅθεν καὶ τὸ ὄνομα τῷ χωρίῳ,) σωτήριον εἶναι ἐδόκει, καὶ πρὸς τὴν τοῦ ἀέρος φθορὰν ἀντέχειν ἐλέγετο, εὐωδίᾳ τε τῆς τῶν δαφνῶν ἀποφορᾶς, καὶ τῇ τῶν δένδρων ἡδείᾳ σκιᾷ. ἀλλὰ καὶ οἱ κατὰ τὴν πόλιν, κελευόντων τῶν ἰατρῶν, μύρου εὐωδεστάτου τάς τε ὀσφρήσεις καὶ τὰ ὦτα ἐνεπίμπλασαν, θυμιάμασί τε καὶ ἀρώμασι συνεχῶς ἐχρῶντο, φασκόντων τινῶν, τὴν εὐωδίαν φθάσασαν ἐμπιμπλάναι τοὺς πόρους τῶν αἰσθήσεων, καὶ κωλύειν δέχεσθαι τὸ φθινῶδες τοῦ ἀέρος, ἢ, εἰ καί τι προεμπέσοι, κατεργάζεσθαι δυνάμει κρείττονι. πλὴν οὐδὲν ἧττον ἡ νόσος ἐπὶ πλεῖστον ἤκμασε, πολλῆς ἀνθρώπων φθορᾶς γενομένης, πάντων τε ζώων τοῖς ἀνθρώποις συνοίκων.

3 Ἐπέσχε δὲ κατ᾿ αὐτὸ καὶ λιμὸς τὴν πόλιν ἐξ αἰτίας τοιαύτης. Κλέανδρός τις ἦν, τὸ μὲν γένος Φρύξ, τῶν δημοσίᾳ εἰωθότων ὑπὸ κήρυκι πιπράσκεσθαι· οἰκέτης δὲ βασιλικὸς γενόμενος, συναυξηθείς τε τῷ Κομμόδῳ, εἰς τοσοῦτον ὑπ᾿ αὐτοῦ τιμῆς καὶ ἐξουσίας προήχθη, ὡς τήν τε τοῦ σώματος

φρουράν, καὶ τὴν τοῦ θαλάμου ἐξουσίαν, τήν τε
τῶν στρατῶν ἀρχὴν ἐγχειρισθῆναι· ὑπὸ δὲ πλού-
του καὶ τρυφῆς ἀνεπείσθη καὶ πρὸς βασιλείας ἐπι-
θυμίαν. ἀθροίζων δὲ χρήματα, καὶ σίτου πλεῖ- 4
στον συνωνούμενος καὶ ἀποκλείων, ἤλπιζε προσά-
ξασθαι τόν τε δῆμον καὶ τὸ στρατόπεδον, εἰ πρῶ-
τον ἐν σπάνει τῶν ἐπιτηδείων καταστήσας, ἐπιδό-
σεσι λαμπραῖς, ἁλόντας πόθῳ τοῦ χρειώδους, προσα-
γάγοιτο. μέγιστον δὲ γυμνάσιον κατασκευάσας, λου-
τρὸν δημόσιον ἀνῆκεν αὐτοῖς. ὁ μὲν οὖν οὕτω τὸν
δῆμον ἐδελέαζεν.

Οἱ δὲ Ῥωμαῖοι, ἀπεχθῶς ἔχοντες πρὸς αὐ- 5
τὸν, καὶ τῶν δεινῶν τὰς αἰτίας εἰς ἐκεῖνον ἀναφέ-
ροντες, μισοῦντες αὐτοῦ τὸ ἀκόρεστον τῆς τοῦ
πλούτου ἐπιθυμίας, τὰ μὲν πρῶτα ἐν θεάτροις
συνιστάμενοι κατὰ πλήθη, κακῶς ἠγόρευον· καὶ
τὸ τελευταῖον, διάγοντος ἐν προαστείῳ τοῦ Κομ-
μόδου, ἐπελθόντες πανδημεὶ ἐβόων, καὶ τὸν Κλέ-
ανδρον εἰς θάνατον ᾔτουν. ταραχῆς δὲ οὔσης περὶ 6
τὸ προάστειον, τοῦ τε Κομμόδου ἐν τοῖς ἀνακε-
χωρηκόσι τόποις ἡδοναῖς σχολάζοντος, ἀγνοοῦντός
τε τὰ θρυλλούμενα, (ἐπείπερ ὁ Κλέανδρος ἀγγέλ-
λεσθαί τι τῶν πραττομένων ἐκώλυεν αὐτῷ·) αἰφνι-
δίως, οὐ προσδοκῶντος τοῦ δήμου, ἐπιφαίνονται
ὡπλισμένοι, κελεύσαντος τοῦ Κλεάνδρου, πάντες
[δὲ] οἱ βασίλειοι ἱππεῖς, τούς τε ἐντυγχάνοντας
ἔβαλλον καὶ ἐτίτρωσκον. ὁ δὲ δῆμος οὐδὲ ἀντιστῆ- 7
ναι οἷός τε ἦν, ἄνοπλοι πρὸς ὡπλισμένους, καὶ
πεζοὶ πρὸς ἱππεῖς· τροπῆς δὲ γενομένης, ἔφευγον
εἰς τὴν πόλιν. ἐφθείρετο δὲ ὁ δῆμος οὐ μόνον
βαλλόμενος ὑπὸ τῶν στρατιωτῶν, οὐδὲ πατούμενος
ὑπὸ τῶν ἵππων, ἀλλὰ καὶ ὑπὸ τοῦ πλήθους ὠθού-
μενος· καὶ ὑπὸ τῶν ἱππέων ἐπάλληλοι πίπτοντες,
πολλοὶ ἀπώλοντο. μέχρι μὲν οὖν τῶν τῆς Ῥώμης 8
πυλῶν ἀκωλύτως οἱ ἱππεῖς διώκοντες, τοὺς ἐμπί-
πτοντας ἀφειδῶς ἀνῄρουν. ἐπεὶ δὲ οἱ ἐν τῇ πόλει
μείναντες, αἰσθόμενοι τὸ κατειληφὸς πάθος, ἀπο-
κλείσαντες τὰς τῶν οἰκιῶν εἰσόδους, εἴς τε τὰ δω-

μάτια ἀναβάντες, λίθοις καὶ κεράμοις ἔβαλλον τοὺς ἱππεῖς· οἱ δὲ ἔπασχον ἅπερ δεδράκεσαν, οὐδενὸς μὲν αὐτοῖς συστάδην μαχομένου, τοῦ δὲ πλήθους ἐξ ἀσφαλοῦς ἤδη βάλλοντος αὐτούς. τιτρωσκόμενοι τοίνυν, καὶ μὴ φέροντες, ἐς φυγὴν ἐτράπησαν.
9 πολλοὶ δὲ αὐτῶν διεφθείροντο ὑπὸ [τε] τῆς τῶν λίθων συνεχοῦς βολῆς· οἱ δὲ ἵπποι, κυλινδουμένοις τοῖς λίθοις ἐπιβαίνοντες, ὠλίσθαινον, καὶ τοὺς ἐπιβάτας ἀπωθοῦντο. πολλῶν δὲ ἑκατέρωθεν πιπτόντων, ἐπεβοήθουν τῷ δήμῳ καὶ οἱ τῆς πόλεως πεζοὶ στρατιῶται, μίσει τῶν ἱππέων.

1 XIII. Ὄντος δὲ πολέμου ἐμφυλίου, ἄλλος μὲν οὐδεὶς ἀγγεῖλαι τὰ πραττόμενα τῷ Κομμόδῳ ἐβούλετο, δέει τῆς Κλεάνδρου ἐξουσίας. ἡ δὲ πρεσβυτάτη τῶν Κομμόδου ἀδελφῶν, (Φαδίλλα ἦν ὄνομα αὐτῇ,) εἰςδραμοῦσα πρὸς τὸν βασιλέα, (ῥᾳδία δὲ ἡ εἴσοδος αὐτῇ καὶ ἀκώλυτος, ἅτε ἀδελφῇ,) λυσαμένη τὰς τρίχας, ῥίψασά τε εἰς τὴν γῆν ἑαυτήν, οὐ-
2 δὲν ἄλλ' ἢ πένθους σχῆμα δείξασα· „Σὺ μέν, ἔφη, ὦ βασιλεῦ, μένων ἐπὶ ἡσυχίᾳ, τῶν πραττομένων ἀγνοίᾳ, ἐν ἐσχάτῳ καθέστηκας κινδύνῳ· ἡμεῖς δέ, τὸ σὸν γένος, ὅσον οὐδέπω ἀπολούμεθα. οἴχεται δέ σοι ὅ τε δῆμος Ῥωμαίων, καὶ τὸ πλεῖστον τοῦ στρατιωτικοῦ. ἃ δὲ πρὸς μηδενὸς Βαρβάρων πείσεσθαι προςεδοκῶμεν, ταῦτα δρῶσιν ἡμᾶς οἱ οἰκέται· καὶ οὓς μάλιστα εὐηργέτησας, τούτους ἐχθροὺς
3 ἔχεις. Κλέανδρος ἐπὶ σέ τόν τε δῆμον καὶ τὸ στρατιωτικὸν ὥπλισεν· ἐκ δὲ διαφόρου καὶ ἐναντίας γνώμης, οἱ μὲν μισοῦντες αὐτόν, ὁ δῆμος, οἱ δὲ στέργοντες, πᾶν τὸ ἱππικὸν τάγμα, ἐν ὅπλοις εἰσί· καὶ φθείροντες ἀλλήλους, ἐμφυλίου αἵματος τὴν Ῥώμην ἐπλήρωσαν. τὰ δ' ἑκατέρου τοῦ πλήθους δεινὰ ἡμᾶς προςλήψεται, εἰ μὴ τὴν ταχίστην πρὸς τὸν θάνατον ἐκδώσεις πονηρὸν οἰκέτην, ὀλέθρου τοσούτου τοῖς μὲν αἴτιον ἤδη γεγονότα, ἡμῖν δὲ ἐσόμενον ὅσον οὐδέπω.“

4 Τοιαῦτά τινα εἰποῦσα, ῥηξαμένη τε τὴν ἐσθῆτα, καὶ τῶν παρόντων τινὲς θαῤῥήσαντες τοῖς τῆς

ἀδελφῆς τοῦ βασιλέως λόγοις, τὸν Κόμμοδον ἐτά-
ραξαν. ἐκπλαγεὶς δὲ ἐκεῖνος, τόν τε ἐπικείμενον κίν-
δυνον οὐ μέλλοντα, ἀλλὰ παρόντα ἤδη φοβηθεὶς,
μεταπέμπεται τὸν Κλέανδρον, οὐδὲν μὲν τι εἰδότα
τῶν ἀπηγγελμένων, οἰόμενον δέ. ἐλθόντα δ' αὐτὸν
συλληφθῆναι κελεύει καὶ τὴν κεφαλὴν ἀποτεμὼν,
δόρατί τε ἐπιμήκει ἐγκαταπήξας, ἐκπέμπει τερπνὸν
καὶ ποθεινὸν τῷ δήμῳ θέαμα.

Ἔστη γὰρ οὕτω τὸ δεινὸν, καὶ ἑκάτεροι πο- 5
λεμοῦντες ἐπαύσαντο· οἱ μὲν στρατιῶται, ἀνῃρη-
μένον ἰδόντες ὑπὲρ οὗ ἐμάχοντο, δέει τε τῆς τοῦ
βασιλέως ὀργῆς· συνίεσαν γὰρ ἐξηπατῆσθαι, καὶ τὰ
δρασθέντα παρὰ γνώμην αὐτοῦ τετολμηκέναι· ὁ δὲ
δῆμος κεκόρεστο, τιμωρίαν παρὰ τοῦ τὰ δεινὰ δρά-
σαντος εἰληφώς. προσανεῖλον δὲ καὶ τοὺς παῖδας 6
τοῦ Κλεάνδρου, δύο δὲ ἦσαν ἄῤῥενες αὐτῷ, πάν-
τας τε, ὅσους ᾔδεσαν ἐκείνῳ φίλους, διεχρήσαν-
το· σύροντές τε τὰ σώματα, καὶ πᾶσαν ὕβριν
ἐνυβρίσαντες, τέλος λελωβημένους εἰς τοὺς ὀχετοὺς
ἔῤῥιψαν φέροντες. τοιούτῳ μὲν δὴ τέλει Κλέανδρός
τε καὶ οἱ περὶ αὐτὸν ἐχρήσαντο, φιλοτιμησαμένης,
ὡς ἄν τις εἴποι, τῆς ἀνθρωπίνης φύσεως ἐν ἑνὶ
δεῖξαι, ὅτι ἐκ τῆς ἐσχάτης εὐτελείας εἰς τὸ μέγιστον
ὕψους ἆραι, καὶ πάλιν τὸν ἀρθέντα ῥίψαι ὀλίγη
καὶ ἀνέλπιστος δύναται τύχης ῥοπή.

Ὁ δὲ Κόμμοδος, δεδιὼς μὲν τὴν τοῦ δήμου 7
κίνησιν, μή τι καὶ περὶ αὐτοῦ νεωτερίσειεν, ὅμως
δὲ παρορμησάντων αὐτὸν τῶν οἰκείων, κατελθὼν
ἐς τὸ ἄστυ, μετὰ πάσης εὐφημίας τε καὶ παρα-
πομπῆς τοῦ δήμου ὑποδεχθεὶς, εἰς τὴν βασίλειον
ἐπανῆλθεν αὐλήν. πειραθεὶς δὲ τοσούτων κινδύνων,
ἀπίστως προσεφέρετο πᾶσιν, ἀφειδῶς τε φονεύων,
καὶ πάσαις διαβολαῖς ῥαδίως πιστεύων, μηδέ τινα
προσιέμενος τῶν λόγου ἀξίων, ἀλλὰ τῆς μὲν περὶ
τὰ καλὰ σπουδῆς ἀπῆγεν ἑαυτόν· ἐδεδούλωντο δὲ
πᾶσαν αὐτοῦ τὴν ψυχὴν νύκτωρ τε καὶ μεθ' ἡμέ-
ραν ἐπάλληλοι καὶ ἀκόλαστοι σώματος ἡδοναί. καὶ 8
σώφρων μὲν πᾶς, καὶ παιδείας κἂν μετρίως μεμυη-

μένος, τῆς αὐλῆς ὡς ἐπίβουλος ἐδιώκετο· γελωτοποιοὶ δὲ καὶ τῶν αἰσχίστων ὑποκριταὶ εἶχον αὐτὸν ὑποχείριον. ἁρμάτων τε ἡνιοχείας καὶ θηρίων ἐξ ἀντιστάσεως μάχας ἐπαιδεύετο, τῶν μὲν κολάκων εἰς ἀνδρείας δόξαν αὐτὰ ὑμνούντων, τοῦ δὲ ἀπρεπέστερον μετιόντος ἢ βασιλεῖ σώφρονι ἥρμοζεν.

1 XIV. Ἐγένοντο δέ τινες κατ' ἐκεῖνο καιροῦ καὶ διοσημίαι. ἀστέρες γὰρ ἡμέριοι συνεχῶς ἐβλέποντο, ἕτεροί τε εἰς μῆκος κεχαλασμένοι, ὡς ἐν μέσῳ ἀέρι κρέμασθαι δοκεῖν· ζῶά τε παντοῖα, καὶ τὴν ἑαυτῶν φύσιν μὴ τηροῦντα, σχήμασί τε ἀλλοδαποῖς καὶ μέρεσι σώματος ἀναρμόστοις πολλάκις ἀπεκυήθη.
2 μέγιστον δὲ δεινὸν καὶ τὸν παρόντα καιρὸν ἐλύπησε, καὶ πρὸς τὸ μέλλον οἰωνίσματι καὶ φαύλῳ συμβόλῳ χρωμένους πάντας ἐτάραξεν· οὔτε γὰρ ὄμβρου προϋπάρξαντος, οὔτε νεφῶν ἀθροισθέντων, σεισμοῦ δὲ ὀλίγου προγενομένου γῆς, εἴτε σκηπτοῦ νύκτωρ κατενεχθέντος, εἴτε καὶ πυρός ποθεν ἐκ τοῦ σεισμοῦ διαῤῥυέντος, πᾶν τὸ τῆς Εἰρήνης τέμενος κατεφλέχθη, μέγιστον καὶ κάλλιστον γενόμενον τῶν
3 ἐν τῇ πόλει ἔργων. πλουσιώτατον δὲ ἦν πάντων ἱερῶν, δι' ἀσφάλειαν ἀναθήμασι κεκοσμημένον χρυσοῦ τε καὶ ἀργύρου· ἕκαστος δὲ, ἃ εἶχεν, ἐκεῖσε ἐθησαυρίζετο. ἀλλὰ τὸ πῦρ ἐκείνης νυκτὸς πολλοὺς ἐκ πλουσίων πένητας ἐποίησεν. ὅθεν ὠλοφύροντο κοινῇ μὲν πάντες τὰ δημόσια, ἕκαστος δὲ τὰ ἴδια αὑτοῦ.

Καταφλέξαν δὲ τὸ πῦρ τόν τε νεὼν καὶ πάντα τὸν περίβολον, ἐπενεμήθη καὶ τὰ πλεῖστα τῆς πόλεως καὶ κάλλιστα ἔργα· ὅτε καὶ τῆς Ἑστίας τοῦ νεὼ καταφλεχθέντος ὑπὸ τοῦ πυρὸς, γυμνωθὲν ὤφθη τὸ τῆς Παλλάδος ἄγαλμα, ὃ σέβουσι καὶ κρύπτουσι Ῥωμαῖοι, κομισθὲν ἀπὸ Τροίας, ὡς λόγος· ὅτε πρῶτον καὶ μετὰ τὴν ἀπ' Ἰλίου εἰς
4 Ἰταλίαν ἄφιξιν εἶδον οἱ καθ' ἡμᾶς ἄνθρωποι. ἁρπάσασαι γὰρ τὸ ἄγαλμα αἱ τῆς Ἑστίας ἱέρειαι παρθένοι, διὰ μέσης τῆς ἱερᾶς ὁδοῦ εἰς τὴν τοῦ βασιλέως αὐλὴν μετεκόμισαν. κατεφλέχθη δὲ καὶ πλεῖστα

ἄλλα τῆς πόλεως μέρη κάλλιστα. ἱκανῶν τε ἡμερῶν
πάντα ἐπιὸν τὸ πῦρ ἐπεβόσκετο· οὐδὲ πρότερον
ἐπαύσατο, πρὶν ἢ κατενεχθέντες ὄμβροι ἐπέσχον
αὐτοῦ τὴν ὁρμήν.
Ὅθεν καὶ τὸ πᾶν ἔργον ἐξεθειάσθη, πιστευόν- 5
των κατ' ἐκεῖνο καιροῦ τῶν τότε ἀνθρώπων, ὅτι
γνώμῃ θεῶν καὶ δυνάμει ἤρξατό τε τὸ πῦρ καὶ
ἐπαύσατο. συνεβάλλοντο δέ τινες ἐκ τῶν κατειλη-
φότων, πολέμων σημεῖον εἶναι τὴν τοῦ νεὼ τῆς Εἰ-
ρήνης ἀπώλειαν. τὰ γοῦν ἀκολουθήσαντα, ὡς ἐν
τοῖς ἑξῆς ἐροῦμεν, ἐκ τῆς ἀποβάσεως τὴν προϋπάρ-
χουσαν φήμην ἐπιστώσατο. πολλῶν δὴ καὶ δεινῶν 6
συνεχῶς κατειληφότων τὴν πόλιν, οὐκέτι ὁ Ῥω-
μαίων δῆμος μετ' εὐνοίας τὸν Κόμμοδον ἐπέβλεπεν
ἀλλὰ καὶ τὰς αἰτίας τῶν ἐπαλλήλων συμφορῶν εἰς
τοὺς ἐκείνου ἀκρίτους φόνους καὶ τὰ λοιπὰ τοῦ βίου
ἀνέφερεν ἁμαρτήματα. οὐδὲ γὰρ ἐλάνθανε τὰ
πραττόμενα πάντας, ἀλλὰ οὐδὲ αὐτὸς λανθάνειν
ἤθελεν· ἃ δὲ πράττων οἴκοι διεβάλλετο, ταῦτα καὶ
δημοσίᾳ δεῖξαι ἐτόλμησεν. εἰς τοσοῦτόν τε μανίας 7
καὶ παροινίας προὐχώρησεν, ὡς πρῶτον μὲν τὴν
πατρῴαν προσηγορίαν παραιτήσασθαι· ἀντὶ δὲ Κομ-
μόδου καὶ Μάρκου υἱοῦ, Ἡρακλέα τε καὶ Διὸς
υἱὸν αὐτὸν κελεύσας καλεῖσθαι, ἀποδυσάμενός τε τὸ
Ῥωμαίων καὶ βασίλειον σχῆμα, λεοντῆν ὑπεστρών-
νυτο, καὶ ῥόπαλον μετὰ χεῖρας φέρων· ἀμφιέννυτό
τε ἁλουργεῖς καὶ χρυσοϋφεῖς ἐσθῆτας, ὡς εἶναι κα-
ταγέλαστον αὐτόν, [καὶ] ὑφ' ἑνὶ σχήματι θηλειῶν
πολυτέλειαν καὶ ἡρώων ἰσχὺν μιμούμενον. τοιοῦτος 8
μὲν δὴ προϊὼν ἐφαίνετο. ἤλλαξε δὲ καὶ τῶν ἐνιαυ-
σιαίων μηνῶν τὰ ὀνόματα, ὅσα μὲν ἀρχαῖα καταλύ-
σας, πάντας δὲ ταῖς ἑαυτοῦ προσηγορίαις ὀνομάσας·
ὧν αἱ πλεῖσται εἰς Ἡρακλέα δῆθεν, ὡς ἀνδρειότα-
τον, ἀνεφέροντο. ἔστησε δὲ καὶ ἀνδριάντας αὐτοῦ
κατὰ πᾶσαν τὴν πόλιν, ἀλλὰ μὴν καὶ ἀντικρὺ τοῦ
τῆς συγκλήτου Συνεδρίου τόξον διηγκυλημένον·
ἐβούλετο γὰρ δὴ καὶ τὰς εἰκόνας αὐτῷ φόβον ἀπει-
λεῖν. τὸν μὲν οὖν ἀνδριάντα μετὰ τὴν ἐκείνου τε-

λευτὴν καθελοῦσα ἡ Σύγκλητος, Ἐλευθερίας εἰκόνα ἱδρύσατο.

1 XV. Ὁ δὲ Κόμμοδος, μηκέτι κατέχων ἑαυτοῦ, δημοσίᾳ θέας ἐπετέλεσεν, ὑποσχόμενος τά τε θηρία πάντα ἰδίᾳ χειρὶ κατακτενεῖν, καὶ τοῖς ἀνδρειοτάτοις τῶν νεανιῶν μονομαχήσειν. διαδραμούσης δὲ τῆς φήμης, συνέθεον ἔκ τε τῆς Ἰταλίας πάσης καὶ τῶν ὁμόρων ἐθνῶν, θεασόμενοι ἃ μὴ πρότερον μήτε ἑωράκεσαν, μήτε ἠκηκόεισαν. καὶ γὰρ διηγγέλλετο αὐτοῦ τῆς χειρὸς τὸ εὔστοχον, καὶ ὅτι ἔμελλεν αὐτῷ, ἀκοντίζοντι καὶ τοξεύοντι μὴ πταίειν.
2 συνῆσαν δὲ παιδεύοντες αὐτὸν Παρθυαίων οἱ τοξικὴν ἀκριβοῦντες, καὶ Μαυρουσίων οἱ ἀκοντίζειν ἄριστοι, οὓς πάντας εὐχειρίᾳ ὑπερέβαλλεν. ἐπεὶ δὲ κατέλαβον αἱ τῆς θέας ἡμέραι, τὸ μὲν ἀμφιθέατρον πεπλήρωτο· τῷ δὲ Κομμόδῳ περίδρομος κύκλῳ κατεσκεύαστο, ὡς μὴ συστάδην τοῖς θηρίοις μαχόμενος κινδυνεύοι, ἄνωθεν δὲ καὶ ἐξ ἀσφαλοῦς ἀκοντίζων εὐτοξίας μᾶλλον ἢ ἀνδρείας παρέχοιτο
3 δεῖξιν. ἐλάφους μὲν οὖν καὶ δορκάδας, ὅσα τε κερασφόρα, πλὴν ταύρων, συνθέων αὐτοῖς καὶ καταδιώκων ἔβαλλε, φθάνων τε αὐτῶν τὸν δρόμον, καὶ πληγαῖς καιρίοις ἀναιρῶν· λέοντας δὲ καὶ παρδάλεις, ὅσα τε ζῶα γενναῖα περιθέων ἄνωθεν κατηκόντιζεν· οὐδέ τις εἶδεν ἀκόντιον δεύτερον, οὐδὲ
4 τραῦμα ἄλλο πλὴν τοῦ θανατηφόρου. ἅμα γὰρ τῇ τοῦ ζώου ὁρμῇ, κατὰ τοῦ μετώπου ἢ κατὰ καρδίας ἔφερε τὴν πληγήν· καὶ οὐδέποτε σκοπὸν ἄλλον ἔσχεν, οὐδὲ ἐπ' ἄλλο μέρος ἦλθε τὸ ἀκόντιον τοῦ σώματος, ὡς μὴ ἅμα τε τρῶσαι καὶ φονεῦσαι. τὰ δὲ πανταχόθεν ζῶα ἠθροίζετο αὐτῷ· τότε γοῦν
5 εἴδομεν, ὅσα ἐν γραφαῖς ἐθαυμάζομεν. ἀπό τε γὰρ Ἰνδῶν καὶ Αἰθιόπων, εἴ τι πρότερον ἄγνωστον ἦν, μεσημβρίας τε καὶ τῆς ἀρκτώας γῆς ζῶα πάντα φονεύων Ῥωμαίοις ἔδειξε. τὸ δ' εὔστοχον τῆς χειρὸς αὐτοῦ πάντες ἐξεπλήττοντο. λαβὼν οὖν ποτε βέλη, ὧν αἱ ἀκμαὶ ἦσαν μηνοειδεῖς, ταῖς Μαυρουσίαις στρουθοῖς, ὀξύτατα φερομέναις καὶ πο-

δῶν τάχει καὶ κολπώσει πτερῶν, ἐπαφιεὶς τὰ βέ-
λη κατ' ἄκρου τοῦ τραχήλου, ἐκαρατόμει, ὡς τῶν
κεφαλῶν ἀφῃρημένας ὁρμῇ τοῦ βέλους ἔτι περιθεῖν
αὐτάς, ὡς μηδὲν παθούσας. παρδάλεως δέ ποτε 6
ὀξυτάτῳ δρόμῳ τὸν ἐκκαλούμενον καταλαβούσης,
φθάσας τῷ ἀκοντίῳ μέλλουσαν δήξεσθαι, τὴν μὲν
ἀπέκτεινε, τὸν δὲ ἐρρύσατο, φθάσας τῇ τοῦ δό-
ρατος αἰχμῇ τὴν τῶν ὀδόντων ἀκμήν. λεόντων
δέ ποτε ἐξ ὑπογαίων ἑκατὸν ἀναῤῥιφθέντων, ἰσα-
ρίθμοις ἀκοντίοις πάντας ἀπέκτεινεν, ὡς, ἐπὶ πο-
λὺ κειμένων τῶν πτωμάτων, δι' αὐτὸ τοῦτο ἐπὶ
σχολῆς πάντας ἀριθμῆσαι, καὶ μηδὲν ἰδεῖν περιτ-
τὸν ἀκόντιον.

*Μέχρι* μὲν τούτων, εἰ καὶ βασιλείας τὰ πρατ- 7
τόμενα ἦν ἀλλότρια, πλὴν ἀνδρείας καὶ εὐστοχίας
παρὰ τοῖς δημώδεσιν εἶχέ τινα χάριν. ἐπεὶ δὲ καὶ
γυμνὸς εἰς τὸ ἀμφιθέατρον εἰσῆλθεν, ὅπλα τε ἀνα-
λαβὼν ἐμονομάχει, τότε σκυθρωπὸν εἶδεν ὁ δῆ-
μος θέαμα· τὸν εὐγενῆ καὶ Ῥωμαίων βασιλέα, με-
τὰ τοσαῦτα τρόπαια πατρός τε καὶ προγόνων, οὐκ
ἐπὶ Βαρβάρους ὅπλα λαμβάνοντα στρατιωτικά, ἢ
Ῥωμαίων ἀρχῇ πρέποντα, καθυβρίζοντα δὲ τὸ
ἀξίωμα αἰσχίστῳ καὶ μεμιασμένῳ σχήματι. ὁ μὲν 8
οὖν μονομαχῶν, ῥᾳδίως τῶν ἀνταγωνιστῶν περιεγέ-
νετο, καὶ μέχρι τραυμάτων προεχώρει, ὑπεικόν-
των ἁπάντων, καὶ τὸν βασιλέα, οὐ τὸν μονομάχον,
ἐννοούντων. εἰς τοσοῦτον δὲ προεχώρησε μανίας,
ὡς μηκέτι βούλεσθαι μηδὲ τὴν βασίλειον ἑστίαν οἰ-
κεῖν· ἀλλὰ γὰρ μετοικισθῆναι ἐβούλετο εἰς τὸ τῶν
μονομάχων καταγώγιον. ἑαυτὸν δὲ οὐκέτι Ἡρα-
κλέα, ἀλλὰ τῶν μονομαχούντων ἐνδόξου τινὸς προ-
τετελευτηκότος ὀνόματι καλεῖσθαι προσέταξε. τοῦ 9
δὲ μεγίστου ἀγάλματος κολοσσιαίου, ὅπερ σέβουσι
Ῥωμαῖοι, εἰκόνα φέρον ἡλίου, τὴν κεφαλὴν ἀποτε-
μών, ἱδρύσατο ἑαυτοῦ, ὑπογράψας τῇ βάσει [οὐχ]
ἃς εἰώθασι βασιλικὰς καὶ πατρῴους προσηγορίας,
ἀντὶ δὲ Γερμανικοῦ, μ ο ν ο μ ά χ ο υ ς χ ι λ ί ο υ ς ν ι-
κ ή σ α ν τ ο ς.

1 XVI. Ἔδει δὲ ἄρα ποτὲ κἀκεῖνον παύσασθαι μεμηνότα, καὶ τὴν Ῥωμαίων ἀρχὴν τυραννουμένην· νέου μὲν γὰρ ἔτους τῆς ἐπιούσης ἔμελλεν ἡμέρας. σέβουσι δὲ τὴν ἑορτὴν Ῥωμαῖοι, εἰς θεὸν ἀρχαιότατον τῆς Ἰταλίας ἐπιχώριον ἀναφέροντες. φασὶ γὰρ, αὐτοῦ καὶ Κρόνον, ὑπὸ Διὸς ἐκβληθέντα τῆς ἀρχῆς, κατελθόντα εἰς γῆν, γενέσθαι ξένον, δεδιότα δὲ τὴν τοῦ παιδὸς δυναστείαν, παρ᾽ αὐτῷ κρυπτόμενον λαθεῖν· ὅθεν καὶ τὸ ὄνομα δοθῆναι τῷ χώρῳ τῆς Ἰταλίας, Λάτιόν τε κληθῆναι, ἀπὸ τῆς Ἑλλάδος φωνῆς εἰς τὴν ἐπιχώριον παραχθέν.
2 διὰ ταῦτά τοι καὶ μέχρι νῦν Ἰταλιῶται τὰ μὲν Κρόνια προεορτάζουσι θεῷ τῷ λαθόντι· τὴν δὲ τοῦ ἔτους ἀρχὴν ἱερομηνίαν ἄγουσι τῷ τῆς Ἰταλίας θεῷ. διπρόσωπον δὲ αὐτοῦ ἵδρυται τὸ ἄγαλμα, ἐπειδὴ εἰς αὐτὸν ὁ ἐνιαυτὸς ἄρχεταί τε καὶ παύεται. ταύτης δὲ τῆς ἑορτῆς προϊούσης, ἐν ᾗ μάλιστα Ῥωμαῖοι δεξιοῦνταί τε ἀλλήλους καὶ προσαγορεύουσι, νομισμάτων τε ἀντιδόσεσι καὶ κοινωνίᾳ τῶν γῆς καὶ θαλάττης καλῶν εὐφραίνουσιν αὐτούς· ἀρχαί τε ἐπώνυμοι τότε πρῶτον τὴν ἔνδοξον καὶ ἐνιαύσιον πορφύραν περιτίθενται· πάντων ἑορταζόντων, ὁ Κόμμοδος ἐβουλεύετο, οὐχ ἐκ τῆς βασιλείου, ὡς ἔθος, προελθεῖν οἰκίας, ἀλλ᾽ ἐκ τοῦ τῶν μονομάχων καταγωγίου, ἀντὶ δὲ τῆς εὐπαρύφου καὶ βασιλικῆς πορφύρας, ὅπλα τε αὐτὸς φέρων, καὶ συμπροϊόντων τῶν λοιπῶν μονομάχων ὀφθῆναι τοῖς Ῥωμαίοις.

3 Ἐπεὶ δὲ τὴν γνώμην αὐτοῦ ταύτην ἀνήνεγκε πρὸς Μαρκίαν, ἣν εἶχε τῶν παλλακίδων τιμιωτάτην, ἣ οὐδέν τι ἀπεῖχε γαμετῆς γυναικός, ἀλλὰ πάντα ὑπῆρχεν ὅσα Σεβαστῇ, πλὴν τοῦ πυρός· ἣ μαθοῦσα τὴν παράλογον οὕτω καὶ ἀπρεπῆ βούλησιν αὐτοῦ, τὰ πρῶτα ἐλιπάρει, καὶ προσπίπτουσα μετὰ δακρύων ἐδεῖτο, μήτε τὴν Ῥωμαίων ἀρχὴν καθυβρίσαι, μήθ᾽ ἑαυτὸν ἐπιδόντα μονομάχοις καὶ
4 ἀπεγνωσμένοις ἀνθρώποις κινδυνεῦσαι. ἐπεὶ δὲ πολλὰ ἱκετεύουσα οὐκ ἐτύγχανεν αὐτοῦ, ἡ μὲν δα-

κρύουσα ἀπέστη· ὁ δὲ Κόμμοδος μεταπεμψάμενος Λαῖτον, τὸν ἔπαρχον τῶν στρατοπέδων, Ἔκλεκτόν τε, τὸν τοῦ θαλάμου προεστῶτα, ἐκέλευεν αὐτῷ παρασκευασθῆναι, ὡς διανυκτερεύσων ἐν τῷ τῶν μονομάχων καταγωγίῳ, κἀκεῖθεν προελευσόμενος ἐπὶ τὰς θυσίας τῆς ἱερομηνίας, ὡς Ῥωμαίοις ἔνοπλος ὀφθείη. οἱ δὲ ἱκέτευον καὶ πείθειν ἐπειρῶντο, μηδὲν ἀνάξιον τῆς βασιλείας ποιεῖν.

XVII. Ὁ δὲ Κόμμοδος ἀσχάλλων, τοὺς μὲν 1
ἀπεπέμψατο, αὐτὸς δὲ ἐπανελθὼν εἰς τὸ δωμάτιον, ὡς δὴ καθευδήσων, (καὶ γὰρ μεσημβρίας εἰώθει τοῦτο ποιεῖν,) λαβὼν γραμματεῖον, τούτων δὴ τῶν ἐκ φιλύρας εἰς λεπτότητα ἠσκημένων, ἐπαλλήλῳ τε ἀνακλάσει ἀμφοτέρωθεν ἐπτυγμένων, γράφει ὅσους χρὴ τῆς νυκτὸς φονευθῆναι. ὧν πρώτη μὲν 2
ἦν Μαρκία, εἵποντο δὲ Λαῖτός τε καὶ Ἔκλεκτος· ἐπὶ δὲ τούτοις πολὺ πλῆθος τῶν τῆς Συγκλήτου πρωτευόντων. τοὺς μὲν γὰρ πρεσβυτέρους, καὶ λοιποὺς πατρῴους φίλους ἀποσκευάσασθαι πάντας ἤθελεν, αἰδούμενος ἔχειν αἰσχρῶν ἔργων σεμνοὺς ἐπόπτας· τῶν δὲ πλουσίων τὰς οὐσίας χαρίσασθαι ἐβούλετο, μερίσαι τε εἰς τοὺς στρατιώτας καὶ τοὺς μονομαχοῦντας· τοὺς μὲν, ἵνα φυλάττοιεν αὐτόν· τοὺς δὲ, ἵνα τέρποιεν.

Γράψας δὴ τὸ γραμματεῖον, τίθησιν ἐπὶ τοῦ 3
σκίμποδος, οἰηθεὶς μηδένα ἐκεῖσε εἰςελεύσεσθαι. ἦν δὲ καὶ παιδίον πάνυ νήπιον, τούτων δὴ τῶν γυμνῶν μὲν ἐσθῆτος, χρυσῷ δὲ καὶ λίθοις πολυτίμοις κεκοσμημένων, οἷς ἀεὶ χαίρουσι Ῥωμαίων οἱ τρυφῶντες. ὑπερηγάπα δὲ αὐτὸ Κόμμοδος, ὡς συγκαθεύδειν πολλάκις· Φιλοκόμμοδός τε ἐκαλεῖτο, δεικνυούσης καὶ τῆς προςηγορίας τὴν στοργὴν τὴν εἰς τὸν παῖδα τοῦ βασιλέως. τὸ δὴ παιδίον τοῦτο ἄλλως ἀθύ- 4
ρον, προελθόντος τοῦ Κομμόδου ἐπὶ τὰ συνήθη λουτρά τε καὶ κραιπάλας, εἰςδραμὸν εἰς τὸν θάλαμον, ὥςπερ εἰώθει, τὸ γραμματεῖον ἐπὶ τοῦ σκίμποδος κείμενον ἀνελόμενον, ἵνα δὴ παίζειν ἔχοι, πρόεισι τοῦ οἴκου. κατὰ δέ τινα δαίμονα συνήν-

ηται τῇ Μαρκίᾳ. ἡ δὲ (καὶ αὐτὴ γὰρ ἔστεργε
τὸ παιδίον,) περιπτύξασα καὶ φιλοῦσα, τὸ γραμ-
ματεῖον ἀφαιρεῖται, δεδοικυῖα δὴ μή τι τῶν ἀναγ-
καίων, ὑπὸ νηπιότητος ἀγνοοῦν, παῖζον διαφθείρῃ.
γνωρίσασα δὲ τὴν Κομμόδου χεῖρα, ταύτῃ καὶ μᾶλ-
5 λον ἐσπούδαζε διεξελθεῖν τὴν γραφήν. ἐπεὶ δὲ εὗ-
ρεν αὐτὸ θανατηφόρον, καὶ πρὸ ἁπάντων αὐτήν τε
μέλλουσαν τεθνήξεσθαι, Λαῖτόν τε καὶ Ἔκλεκτον
ἐπακολουθήσοντας, τῶν τε λοιπῶν τοιοῦτον φόνον·
ἀνοιμώξασα, καθ᾽ ἑαυτήν τε εἰποῦσα· εὖγε, ὦ Κόμ-
μοδε! ταῦτα γὰρ χαριστήρια εὐνοίας τε καὶ στορ-
γῆς, ὕβρεώς τε καὶ παροινίας τῆς σῆς, ἧς ἐτῶν
τοσούτων ἠνεσχόμην; ἀλλ᾽ οὐ καταπροΐξῃ αὐτὸς
6 μεθύων νηφούσης γυναικός! ταῦτα εἰποῦσα, τὸν
Ἔκλεκτον μεταπέμπεται· (ἔθος δὲ ἦν αὐτῷ προς-
ιέναι, ἅτε τοῦ θαλάμου φύλακι· ἔτι τε καὶ ἐπὶ
συνουσίᾳ αὐτοῦ διεβάλλετο·) δοῦσα δὲ τὸ γραμ-
ματεῖον, Ὅρα, ἔφη, ποίαν μέλλομεν παννυχίζειν
ἑορτήν! ὁ δὲ Ἔκλεκτος ἀναγνούς τε καὶ ἐκπλαγείς,
(ἦν δὲ τὸ γένος Αἰγύπτιος, τολμῆσαί τε ἅμα καὶ
δρᾶσαι, θυμῷ τε δουλεῦσαι πεφυκώς·) κατασση-
μηνάμενος οὖν τὸ γραμματεῖον, διά τινος τῶν ἑαυ-
τῷ πιστῶν ἀναγνωσθησόμενον πέμπει τῷ Λαίτῳ.
7 ὁ δὲ καὶ αὐτὸς ταραχθείς, ἀφικνεῖται πρὸς Μαρ-
κίαν, ὡς δὴ συσκεψόμενος αὐτοῖς περὶ ὧν ἐκέλευσεν
ὁ βασιλεὺς καὶ τοῦ τῶν μονομάχων καταγωγίου·
προςποιησάμενοι δὲ περὶ τῶν ἐκείνῳ διαφερόντων
σκέπτεσθαι, συντίθενται φθάσαι τι δράσαντες ἢ
παθεῖν, οὐδὲ καιρὸν εἶναι μελλήσεως ἢ ἀναβολῆς.
8 Ἀρέσκει δὴ δοῦναι φάρμακον δηλητήριον τῷ
Κομμόδῳ, ὑπέσχετο δ᾽ αὐτὸ ῥᾶστα δώσειν ἡ Μαρ-
κία· εἰώθει γὰρ αὐτὴ κιρνάναι τε καὶ διδόναι τὴν
πρώτην πόσιν, ὡς ἥδιον πίοι παρ᾽ ἐρωμένης. ἐλ-
θόντι δὲ αὐτῷ ἀπὸ τοῦ λουτροῦ, ἐμβαλοῦσα εἰς κύ-
λικα τοῦ φαρμάκου, οἴνῳ τε κεράσασα εὐώδει, δί-
δωσιν. ὁ δ᾽ ὡς συνήθη φιλοτησίαν, μετὰ πολλὰ λου-
τρὰ καὶ γυμνάσια τὰ πρὸς θηρία διψῶν, ἔπιεν ἀναι-
9 σθήτως. εὐθέως δὲ κάρος ἐπέπεσεν αὐτῷ, εἰς ὕπνον

τε καθελκόμενος, ὑπὸ καμάτου [τοῦτο] πάσχειν οἰηθεὶς, ἀνεπαύσατο. ὁ δὲ Ἤκλεκτος καὶ Μαρκία, πάντας ἀποστῆναι κελεύσαντες, εἴς τε τὰ οἰκεῖα ἀπιέναι, ἡσυχίαν δὴ παρεσκεύαζον αὐτῷ. εἰώθει δὲ καὶ ἐπὶ ἄλλων τοῦτο πάσχειν ὁ Κόμμοδος ὑπὸ κραιπάλης. πολλάκις γὰρ λουσάμενος, καὶ πολλάκις ἐσθίων, οὐδένα καιρὸν εἶχεν εἰς ἀνάπαυσιν ὡρισμένον, ἐπαλλήλοις καὶ διαφόροις συνεχόμενος ἡδοναῖς, αἷς δὴ καταλαβούσῃ ὥρᾳ καὶ ἄκων ἐδούλευεν. ἐπ᾽ ὀλί- 10
γον μὲν οὖν ἡσύχασε, περὶ στόμαχον δὲ καὶ κοιλίαν τοῦ φαρμάκου γενομένου, ἴλιγγός τε αὐτὸν καταλαμβάνει, ἔμετός τε πολὺς ἐπιγίγνεται, ἢ τῆς προεγκειμένης τροφῆς ἅμα ποτῷ πολλῷ ἐξωθούσης τὸ φάρμακον, ἢ διὰ τὸ προλαμβανόμενον, ὅπερ εἰώθασι βασιλεῖς ἑκάστοτε πρὸ πάσης τροφῆς λαμβάνειν, κώλυμα δηλητηρίων. πλὴν ἀλλὰ, πολλοῦ γε 11
ὄντος τοῦ ἐμέτου, φοβηθέντες μὴ πᾶν ἐξεμέσας τὸ φάρμακον ἀνανήψῃ, καὶ πάντες ἀπόλωνται, νεανίαν τινὰ, ὀνόματι Νάρκισσον, γενναῖόν τε καὶ ἀκμαστὴν, πείθουσιν εἰςελθόντα τὸν Κόμμοδον ἀποπνῖξαι, μεγάλα δώσειν ἔπαθλα ὑποσχόμενοι. ὁ δὲ εἰςδραμὼν, παρειμένον αὐτὸν ὑπὸ τοῦ φαρμάκου καὶ μέθης, ἀποσφίγξας τὸν τράχηλον, φονεύει.

Τοιούτῳ μὲν τέλει βίου ὁ Κόμμοδος ἐχρήσατο, 12
βασιλεύσας ἔτη τρισκαίδεκα μετὰ τὴν τοῦ πατρὸς τελευτὴν, εὐγενέστατός τε τῶν πρὸ αὐτοῦ γενομένων βασιλέων, κάλλει τε τῶν καθ᾽ ἑαυτὸν ἀνθρώπων εὐπρεπέστατος, εἰ δέ τι δεῖ καὶ περὶ ἀνδρείας εἰπεῖν, οὐδενὸς ἥττων εὐστοχίᾳ τε καὶ εὐχειρίᾳ· εἰ μὴ τὴν τούτων εὐμοιρίαν αἰσχροῖς ἐπιτηδεύμασι κατῄσχυνεν, ὡς προείρηται.

# ΗΡΩΔΙΑΝΟΥ
## ΙΣΤΟΡΙΩΝ
## ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

1 I. Ἀνελόντες δὲ τὸν Κόμμοδον οἱ ἐπιβουλεύσαντες, ὡς ἐν τῷ πρώτῳ συντάγματι τῆς ἱστορίας δεδήλωται, κρύψαι τε τὸ γενόμενον βουλόμενοι, ὡς ἂν τοὺς φυλάσσοντας τὴν βασίλειον αὐλὴν δορυφόρους λάθοιεν, εἰλήσαντες στρωμνῇ τινι εὐτελεῖ τὸ σωμάτιον καὶ καταδήσαντες, ἐπιθέντες δυσὶν οἰκέταις τῶν πιστῶν ἑαυτοῖς, ἐκπέμπουσιν, ὡς δή τι σκεῦος
2 τῶν ἐκ τοῦ θαλάμου περιττῶν. οἱ δὲ φέροντες, διὰ μέσων ἐκφέρουσι τῶν φυλάκων· ὧν οἱ μὲν ἀπὸ μέθης ἐκραιπάλων, οἱ δὲ ἐγρηγορότες, κἀκεῖνοι εἰς ὕπνον κατεφέροντο, κατεχούσαις τε ταῖς χερσὶ τὰ δοράτια ἐπανεπαύοντο· οἱ δ᾽ οὐ πάνυ τὸ ἐκφερόμενον τοῦ θαλάμου, ὅ τι ποτ᾽ εἴη, ἐπολυπραγμόνουν, ἐπεὶ μηδὲ αὐτοῖς διέφερε ταῦτ᾽ εἰδέναι. τὸ μὲν οὖν σῶμα τοῦ βασιλέως οὕτω κλαπὲν ἐκκομισθέν τε τῆς αὐλείου θύρας νύκτωρ, ὀχήματι ἐπιθέντες, εἰς τὸ Ἀριστεῖον ἀπέπεμψαν.
3 Ὁ δὲ Λαῖτος καὶ Ἔκλεκτος ἅμα τῇ Μαρκίᾳ τὸ πρακτέον ἐβουλεύοντο. ἔδοξε δὲ αὐτοῖς, περὶ μὲν τοῦ θανάτου φήμην ἐγκατασπεῖραι, ὅτι δὴ αἰφνιδίως τετελευτήκοι, ἀποπληξίας ἐπιπεσούσης. καὶ

γὰρ ἐνδεχομένην πίστιν ἕξειν ᾤοντο τὴν φήμην, προδιαβεβλημένης τῆς ἀκορέστου καὶ ὑπερβαλλούσης ἐκείνου τροφῆς. πρῶτον δὲ ἔδοξεν αὐτοῖς, ἐπιλέξασθαι ἄνδρα πρεσβύτην τινὰ καὶ σώφρονα, τὸν διαδεξόμενον τὴν ἀρχήν, ὅπως αὐτοί τε σωθεῖεν, καὶ ἀπὸ τῆς πικρᾶς καὶ ἀκολάστου τυραννίδος πάντες ἀναπνεύσειαν. καθ᾽ ἑαυτοὺς δὲ ἀναλογιζόμενοι, οὐδένα οὕτως ἐπιτήδειον εὕρισκον, ὡς Περτίνακα.
Ἦν δὲ ὁ Περτίναξ τὸ μὲν γένος Ἰταλιώτης, ἐν δὲ 4
πολλαῖς στρατιωτικαῖς τε καὶ πολιτικαῖς εὐδοκιμήσας πράξεσι, πολλὰ δὲ κατὰ Γερμανῶν καὶ τῶν ὑπὸ τὴν ἀνατολὴν Βαρβάρων ἐγείρας τρόπαια, μόνος τε περιλειφθεὶς τῶν σεμνῶν πατρῴων τῷ Κομμόδῳ φίλων· ὃν οὐκ ἀπέκτεινε, τῶν Μάρκου ἑταίρων τε καὶ στρατηγῶν ἐντιμότατον γενόμενον, ἢ διὰ σεμνότητα αἰδούμενος, ἢ ὡς πένητα τηρήσας. ἦν γὰρ αὐτοῦ καὶ τοῦτο μέρος τῶν ἐγκωμίων, ὅτι πλεῖστα πάντων ἐγχειρισθείς, πάντων οὐσίαν εἶχεν ἐλάττονα.

Πρὸς δὴ τοῦτον τὸν Περτίνακα, νυκτὸς ἀκμα- 5
ζούσης, πάντων τε ὕπνῳ κατειλημμένων, ἀφικνοῦνται ὁ Λαῖτος καὶ Ἔκλεκτος, ὀλίγους τῶν συνωμοτῶν ἐπαγόμενοι. ἐπιστάντες δὲ αὐτοῦ, κεκλεισμένης τῆς οἰκίας, ταῖς θύραις, διεγείρουσι τὸν φυλάττοντα. ἀνοίξας δὲ ἐκεῖνος, καὶ θεασάμενος στρατιώτας ἐφεστῶτας καὶ Λαῖτον, ὃν ᾔδει ἔπαρχον ὄντα, ἐκπλαγεὶς καὶ ταραχθεὶς ἀγγέλλει. ὁ δὲ ἥκειν αὐ- 6
τοὺς κελεύει, δεινὰ, προσδοκώμενα ἑαυτῷ ἑκάστοτε, συμβήσεσθαι φάσκων. ἐν τοσαύτῃ γοῦν αὐτόν φασι μεῖναι ψυχῆς ἀταραξίᾳ, ὡς μηδ᾽ ἀναθορεῖν τοῦ σκίμποδος, μεῖναι δὲ ἐπὶ τοῦ σχήματος· καὶ τὸν Λαῖτον ἅμα τῷ Ἐκλέκτῳ εἰσελθόντα, καίτοι δοκοῦντας ἐπὶ φόνῳ ἥκειν, προσειπεῖν τε, καὶ θαῤῥοῦντι, μηδὲ ὠχριάσαντι τῷ προσώπῳ, „Πάλαι μὲν, φά- 7
ναι, καὶ πάσης νυκτὸς τόδε τὸ τέλος τοῦ βίου εἶχον δι᾽ ἐλπίδος· μόνος τε τῶν πατρῴων περιλειπόμενος φίλων ἔτι, ἐθαύμαζον ἐπ᾽ ἐμοὶ Κόμμοδον βραδύνοντα. τί δὴ μέλλετε; ὑμεῖς τε γὰρ δράσετε τὸ κεκελευσμένον, ἐγώ τε πονηρᾶς ἐλπίδος καὶ φόβου συνε-

8 χοῦς ἀπαλλάξομαι.“ Πρὸς ταῦτα ὁ Λαῖτος, „Οὐ
παύσῃ, ἔφη, ἀνάξια σαυτοῦ καὶ τῶν προβεβιωμέ-
νων σοι λέγων; οὐ γὰρ ἐπ᾽ ὀλέθρῳ τῷ σῷ ἥδε ἡμῶν
ἡ ἄφιξις, ἀλλ᾽ ἐπὶ σωτηρίᾳ τῇ τε ἡμῶν αὐτῶν καὶ
τῆς Ῥωμαίων ἀρχῆς. κεῖται μὲν γὰρ ὁ τύραννος,
δίκην δοὺς τὴν προσήκουσαν, καὶ ἅπερ αὐτὸς ἡμᾶς
9 δρᾶσαι διενοεῖτο, ταῦτα πρὸς ἡμῶν παθών. ἡμεῖς
δὲ ἥκομέν σοι τὴν βασιλείαν ἐγχειριοῦντες, ὃν ἴσμεν
προὔχοντα ἐν τῇ συγκλήτῳ Βουλῇ σωφροσύνῃ βίου,
μεγέθει τε ἀξιώματος καὶ ἡλικίας σεμνότητι, πο-
θούμενόν τε καὶ τιμώμενον ὑπὸ τοῦ δήμου· ὅθεν
κἀκείνοις εὐκταῖον, καὶ ἡμῖν σωτήριον τὸ πραττό-
μενον ἔσεσθαι προσδοκῶμεν.“

10 Πρὸς ταῦτα ὁ Περτίναξ, „Οὐ παύσεσθε,
ἔφη, χλευάζοντες πρεσβύτην, καὶ τοσαύτην μου
δειλίαν κατεγνωκότες, ὡς πρῶτον ἀπατῆσαι βού-
λεσθε, εἶθ᾽ οὕτω φονεῦσαι;“ „Ἀλλὰ μὴν, ἔφη ὁ
Ἔκλεκτος, ἐπεὶ λέγουσιν ἡμῖν οὐ πεπίστευκας, λα-
βὼν τουτὶ τὸ γραμματεῖον, (γνωρίζεις δὲ τὴν Κομ-
μόδου χεῖρα, οὔσης σοι τῆς ἀναγνώσεως ἐν συνη-
θείᾳ,) ἐπίσκεψαι. οὕτω γὰρ γνώσῃ, τίνα τε κίν-
δυνον ἐφύγομεν, καὶ ὅτι μὴ σκῆψις, ἀλλ᾽ ἀλήθεια
πρόσεστι τοῖς λεχθεῖσιν.“ ἐπιγνοὺς δὴ τὰ γεγραμ-
μένα ὁ Περτίναξ, πεισθείς τε ἀνδράσι, καὶ πρό-
τερον αὐτοῦ φίλοις, πάντα πυθόμενος τὰ πεπραγμέ-
να, ἐπιδίδωσιν ἑαυτόν.

1 II. Καὶ πρῶτον ἀρέσκει προελθεῖν ἐπὶ τὸ στρα-
τόπεδον, καὶ πεῖραν τῆς γνώμης τῶν στρατιωτῶν
λαβεῖν· πείσειν δὲ αὐτοὺς ὁ Λαῖτος ὑπισχνεῖτο,
ἐπείπερ αὐτῷ ἐπάρχῳ ὄντι μετρίαν ἀπένεμον αἰδῶ.
2 συμπαραλαβόντες οὖν καὶ τῶν λοιπῶν ὅσοι παρῆσαν,
ἐπὶ τὸ στρατόπεδον ἠπείγοντο. ἤδη δὲ καὶ τὸ πλεῖ-
στον τῆς νυκτὸς προκεχωρήκει, καὶ τῆς ἑορτῆς
ἐνεστώσης πρὸ ἡμέρας πάντα ἐπράττετο. διαπέμ-
πουσι δή τινας τῶν πιστῶν τοὺς διαβοήσοντας, ὅτι
ὁ Κόμμοδος τέθνηκε μέν, ὁ Περτίναξ δὲ εἰς τὸ
στρατόπεδον βασιλεύσων ἄπεισι.

Διαδραμούσης δὲ τῆς φήμης, πᾶς ὁ δῆμος ἐν- 3
θουσιῶντι ἐοικὼς ἐξεβακχεύετο· διέθεόν τε, καὶ
τοῖς οἰκείοις ἕκαστος χαίρων διήγγελλε, καὶ μάλιστα
τοῖς ἐπ' ἀξιώσεως ἢ πλουσίοις. ἐκείνοις γὰρ καὶ
ἐπιβουλεύοντα ᾔδεσαν τὸν Κόμμοδον. ἔθεόν τε περί
τε τὰ ἱερὰ καὶ βωμούς, θεοῖς χάριτας ὁμολογοῦν-
τες. ἐβόων δὲ διάφορα, οἱ μὲν κεῖσθαι τὸν τύραννον 4
λέγοντες, οἱ δὲ τὸν μονομάχον, ἄλλοι δὲ ἀπρεπέστε-
ρα βλασφημοῦντες· καὶ ὅσα πρότερον ἐπεῖχεν ὁ φό-
βος ῥήματα, ταῦτα, προελθούσης ἀδείας καὶ ἐλευ-
θερίας, ῥᾳδίως ἐλέγετο. πλεῖστον δὴ τοῦ δήμου
συνέθει δρόμῳ, καὶ ἐπὶ τὸ στρατόπεδον ἠπείγετο·
τοῦτο μάλιστα δεδιότες, μή πως ἄρα οἱ στρατιῶται
ὀκνηρότερον ἐπακούσωσι τῇ Περτίνακος ἀρχῇ. ἐσο- 5
μένην γὰρ σώφρονα, μὴ πάνυ τι ἀποδέξασθαι τοὺς
στρατιώτας προσεδόκων, τυραννίδι δουλεύειν εἰθισμέ-
νους, ἁρπαγαῖς τε καὶ βίαις ἐγγεγυμνασμένους. ἵν'
οὖν αὐτοὺς ἐκβιάσοιντο ὑπακοῦσαι, πανδημεὶ συνῆλ-
θον. ἐπεὶ δὲ ἐγένοντο ἐν τῷ στρατοπέδῳ, ὁ Λαῖτός
τε καὶ Ἔκλεκτος εἰςῆλθον, ἄγοντες τὸν Περτίνακα·
συγκαλέσας τε τοὺς στρατιώτας, ὁ Λαῖτος ἔλεξε
τοιάδε·

„Κόμμοδος μὲν ἡμῖν ὁ βασιλεὺς τέθνηκεν ἀπο- 6
πληξίᾳ· αἴτιος δὲ τοῦ τοιούτου θανάτου οὐκ ἄλλος,
ἀλλ' αὐτὸς αὐτῷ. συμβουλευόυσι γὰρ ἡμῖν αἰεὶ τὰ
ἄριστα καὶ σωτήρια, οἷς μὴ πειθόμενος, βιοὺς δὲ
ὡς οὐκ ἀγνοεῖτε, ὑπὸ πλήθους ἐπιπνιγεὶς διεφθάρη.
τὸν μὲν οὖν κατέλαβε τέλος τὸ πεπρωμένον. οὐδὲ
γὰρ μία, οὐδ' ἡ αὐτὴ πᾶσιν ἀνθρώποις θανάτου
αἰτία· διάφοροι δὲ οὖσαι, εἰς ἓν τέρμα βίου συν-
τελοῦσιν. ἀλλ' ἀντ' ἐκείνου γὰρ ὑμῖν ἄγομεν ἡμεῖς 7
τε καὶ ὁ δῆμος ὁ Ῥωμαίων ἄνδρα τὴν μὲν ἡλικίαν
σεμνόν, τὸν δὲ βίον σώφρονα, ἀρετῆς δὲ τῆς ἐν
ἔργοις ἔμπειρον· ὧν οἱ μὲν πρεσβύτεροι καὶ τῶν
στρατιωτικῶν αὐτοῦ πράξεων ἐπειράθητε, οἱ δὲ λοι-
ποὶ τῆς πόλεως ἐπάρχοντα τοσούτων ἐτῶν ἀεὶ διὰ
τιμῆς τε καὶ θαύματος ἔσχετε. δίδωσί τε ὑμῖν ἡ 8
τύχη οὐ βασιλέα μόνον, ἀλλὰ καὶ πατέρα χρηστόν.

εὐφρανεῖ τε ἡ τοῦδε ἀρχὴ οὐ μόνον ὑμᾶς, τοὺς ἐνταυθοῖ δορυφοροῦντας, ἀλλὰ καὶ τοὺς ἐπὶ ταῖς ὄχθαις τῶν ποταμῶν, καὶ τοὺς ἐπὶ τοῖς ὅροις τῆς Ῥωμαίων ἀρχῆς ἱδρυμένους, οἳ τὴν πεῖραν αὐτοῦ τῶν ἔργων φέρουσι διὰ μνήμης. τό τε γὰρ Βάρβαρον οὐ χρήμασιν ἔτι θεραπεύσομεν, πείρᾳ δὲ ὧν πρὸς αὐτοῦ πεπόνθασι στρατηγοῦντος, φόβῳ ὑποτάξονται."

9 Τοιαῦτα δὴ λέγοντος τοῦ Λαίτου, μὴ κατασχὼν ἑαυτὸν ὁ δῆμος, μελλόντων καὶ ὀκνούντων ἔτι τῶν στρατιωτῶν, Σεβαστόν τε ἀναγορεύει, καὶ πατέρα καλεῖ, πάσαις τε γεραίρει εὐφημίαις. τότε καὶ οἱ στρατιῶται, οὐχ ὁμοίᾳ μὲν προθυμίᾳ, τῇ δὲ ἐκ τοῦ παρόντος πλήθους ἀνάγκῃ, (καὶ γὰρ ἦσαν πανταχόθεν ὑπὸ τοῦ δήμου περιειλημμένοι, ὀλίγοι τε καὶ ἄνευ τῶν ὅπλων, ὡς ἐν ἱερομηνίᾳ,) πλὴν συνεξεβόησαν, καὶ Σεβαστὸν προςεῖπον τὸν Περτίνακα· εἴς τε τὸ ἐκείνου ὄνομα τοὺς συνήθεις ὅρκους ὀμόσαντες, καὶ θύσαντες, δαφνηφοροῦντες πᾶς ὁ δῆμος καὶ τὸ στρατιωτικὸν [ἀνήγαγον αὐτὸν εἰς τὰ βασίλεια].

1 III. Ἐπείπερ ἱδρύθη ἐν τῇ βασιλείῳ ἑστίᾳ, τῶν τε στρατιωτῶν καὶ τοῦ δήμου, ὡς προείρηται, νύκτωρ ἀναγαγόντων, φροντίσι μεγίσταις τὴν γνώμην ἐταράττετο· πάνυ τε αὐτόν, καίτοι δοκοῦντα ψυχῆς εἶναι ἐῤῥωμένης καὶ πρὸς πάντα ἀνδρεῖον, τὰ παρόντα ἐφόβει, οὐχ οὕτω προνοίᾳ τῆς ἑαυτοῦ σωτηρίας, (κινδύνων γὰρ καὶ μειζόνων πολλάκις ἦν καταφρονήσας,) ἐλογίζετο δὲ τήν τε αἰφνίδιον τῆς τυραννίδος μεταβολήν, τήν τε ἐν τῇ συγκλήτῳ Βουλῇ τινῶν εὐγένειαν, οὓς ὑπώπτευεν οὐκ ἀνεξομένους, μετὰ βασιλέα εὐγενέστατον τὴν ἀρχὴν μεταπεσοῦσαν εἰς ἄνδρα ἐξ ἰδιωτικοῦ καὶ ἀσήμου γένους ἐπὶ τοῦτο

2 ἐλθόντα. εἰ γὰρ καὶ ὁ βίος αὐτῷ διὰ σωφροσύνην ἐπῃνεῖτο, καὶ τὰ ἐν ταῖς στρατιωτικαῖς πράξεσιν ἦν εὐκλεῆ· ἀλλ᾽, ὅσον εὐγενείας χάριν, πολὺ τῶν εὐπατριδῶν ἀπελείπετο. ἡμέρας οὖν καταλαβούσης, κατῆλθεν ἐπὶ τὸ συνέδριον τῆς Βουλῆς, οὔτε τὸ

πῦρ ἐάσας ἑαυτοῦ προπομπεῦσαι, οὔτε τι ἄλλο τῶν βασιλικῶν συμβόλων εἰς ὕψος ἀρθῆναι, πρὶν ἢ μαθεῖν τὴν γνώμην τῆς συγκλήτου Βουλῆς.

Ἐπεὶ δὲ αὐτὸν ἅμα τῷ ἐπιφανῆναι πάντες ὁμοθυμαδὸν εὐφήμησαν, Σεβάσμιόν τε καὶ βασιλέα 3
προςηγόρευσαν· ὁ δὲ τὰ μὲν πρῶτα παρῃτεῖτο τῆς ἀρχῆς τὸ ἐπίφθονον. γῆράς τε προϊσχόμενος, συγγνώμης ἐδεῖτο· εἶναί τε πολλοὺς εὐπατρίδας ἔφασκεν, οἷς ἡ βασιλεία μᾶλλον ἁρμόζει· καὶ λαβόμενος τῆς χειρὸς Γλαβρίωνος, εἷλκεν αὐτόν, καθίζεσθαι κελεύων ἐπὶ τοῦ βασιλείου θρόνου. ἦν δὲ 4
ἐκεῖνος εὐγενέστατος μὲν πάντων εὐπατριδῶν· ἀνέφερε γοῦν εἰς Αἰνείαν τὸν Ἀφροδίτης καὶ Ἀγχίσου τὴν τοῦ γένους διαδοχήν· ἔτι δὲ καὶ τὴν ὕπατον ἀρχὴν τελέσας δεύτερον. ὁ δέ, „Ἀλλ' αὐτός τε, ἔφη, ἐγὼ ὃν σὺ νομίζεις πάντων ἀξιώτατον, σοί τε τῆς ἀρχῆς παραχωρῶ, καὶ πᾶσαν τὴν ἐξουσίαν ἐγὼ καὶ οἱ λοιποὶ πάντες ψηφιζόμεν σοι διδόντες.“ Τότε δέ, πάντων αὐτὸν ἐκβιασαμένων, ἐκλιπαρησάντων τε, ὀκνῶν καὶ μόλις ἀνελθὼν ἐπὶ τὸν βασίλειον θρόνον, ἔλεξε τοιάδε·

„Τὸ πάνυ δεξιὸν ὑμῶν τῆς πρός με τιμῆς, καὶ 5
τὸ τῆς σπουδῆς ὑπερβάλλον, ἐπίλεκτόν τε εἰς πρόκρισιν τοσαύτης παρ' ὑμῖν εὐγενείας, οὐκ ἔχον κολακείας ὑποψίαν, ἀλλὰ δεῖξιν καὶ πίστιν εὐνοίας, ἄλλῳ μὲν ἄν τῳ θάρσος καὶ προθυμίαν ἐνέβαλεν εἰς τὸ ἑτοίμως δέξασθαι τὰ ἐγκεχειρισμένα, ἐλπίδα τε ῥᾳστώνης ὑπέφηνεν ἄν, ὡς εὐμαρῶς τὴν ἀρχὴν διοίσοντα ἐν ἀρχομένοις οὕτως εὐνοοῦσιν. ἐμοὶ δὲ 6
ταῦτα, μεγάλα ὄντα καὶ ἐξαίρετα, τιμῆς τε αἰσθήσει ἐκπλήττει, δέος τε καὶ ἀγῶνα οὐ μικρὸν ἐμποιεῖ. μεγάλων γὰρ εὐεργεσιῶν προϋπαρχουσῶν, τὸ ἰσότιμον δυςέφικτον. ἀλλ' ἐν ταῖς ἀμοιβαῖς, καὶ μικρὰ μὲν λαβοῦσιν, ἀντιδοῦναι μεῖζον οὐχ οὕτως εὐμαρές, ὡς εὐχάριστον δοκεῖ· ὁπηνίκα δ' ἂν ὁ πρῶτός τι δράσας ἀγαθόν, ἀνυπέρβλητον κατάθηται χάριν, τὸ μὴ κατ' ἀξίαν ἀντιδοθὲν οὐχ οὕτω δυςπόριστον, ὡς ἀναίσθητον ἅμα καὶ ἀχάριστον ὀνομάζεται. ὁρῶ δὴ 7

οὐ τὸν τυχόντα μοι ἐπηρτημένον ἀγῶνα, πρὸς τὸ ἄξιον ἐμαυτὸν παρασχεῖν τῆς τοσαύτης παρ᾽ ὑμῶν τιμῆς. οὐ γὰρ ἐν τῇ καθέδρᾳ ἡ προεδρία, ἀλλ᾽ ἐν τοῖς ἔργοις, εἴ τις αὐτὴν μὴ καταισχύνοι. ὅσῳ δὲ τὰ γενόμενα ὡς φαῦλα μισεῖται, τοσούτῳ τὰ μέλλοντα ὡς ἀγαθὰ μεγάλως ἐλπίζεται. καὶ τὰ μὲν δεινὰ τῶν ἔργων ἀεὶ μνημονεύεται· τὸ γὰρ λυπῆσαν δυσεξάλειπτον· τὰ δὲ χρηστὰ ἅμα τῇ ἀπολαύσει καὶ
8 τὴν περὶ αὐτῶν μνήμην συναναλίσκει. ἐπεὶ μὴ ὁμοίως εὐφραίνει ἐλευθερία, ὡς λυπεῖ δουλεία· οὐδέ τις, ἀδεῶς τὰ ἑαυτοῦ ἔχων, ἐν χάριτος μοίρᾳ τίθεται, τὰ ἴδια καρποῦσθαι νομίζων· ὁ δὲ τῶν οἰκείων στερηθεὶς αἰώνιον ἔχει τὴν μνήμην τοῦ λελυπηκότος. οὐδ᾽, εἴ τις εἰς τὸ κοινὸν χρηστὴ γένοιτο μεταβολή, αὐτός τι πλέον νομίζει καρποῦσθαι· ἐπεὶ τοῦ μὲν δημωφελοῦς καὶ κοινῇ διαφέροντος ὀλίγη τοῖς καθ᾽ ἕνα φροντίς· τὸ δὲ καθ᾽ αὑτὸν ἕκαστος εἰ μὴ κατὰ γνώμην προχωροίη, οὐδέν τι μέγα
9 ὠφελεῖσθαι νομίζει. οἵ τε εἰθισμένοι ταῖς τῆς τυραννίδος ἀκρίτοις καὶ ἀφειδέσι μεγαλοδωρεαῖς ἐντρυφᾶν, τὴν εἰς τὸ σωφρονέστερον καὶ μεμετρημένον διὰ σπάνιν χρημάτων μεταβολήν, οὐ φιλοσώφρονα, οὐδὲ σύμμετρον καὶ κεκριμένην διοίκησιν ὀνομάζουσιν, ἀλλὰ μικρολογίαν καὶ ἀθλιότητα βίου ὀνειδίζουσιν· οὐκ εἰδότες, ὅτι τὸ μὲν μεγάλα καὶ ὡς ἔτυχε χαρίζεσθαι οὐκ ἂν περιγένοιτο, εἰ μὴ ἐκ τοῦ ἁρπάζειν καὶ βιάζεσθαι· τὸ δὲ λογισμῷ πάντα καὶ κατ᾽ ἀξίαν ἑκάστου νέμειν, ἄνευ τοῦ δεινόν τι δρᾶσαι, μὴ παρέχον ἄδικον εὐπορίαν χρημάτων, διδάσκει
10 φειδὼ σώφρονα τῶν καλῶς πορισθέντων. ταῦτα δὴ ὑμᾶς ἐγνωκότας χρὴ συναίρεσθαι, καὶ κοινὴν τῆς ἀρχῆς τὴν διοίκησιν νομίζοντας, ἀριστοκρατίαν τε, ἀλλ᾽ οὐ τυραννίδα ὑπομενοῦντας, αὐτούς τε ἀγαθὰς ἔχειν ἐλπίδας, καὶ πᾶσι τοῖς ἀρχομένοις ταῦτα ὑπισχνεῖσθαι."

11 Τοιαῦτα ὁ Περτίναξ εἰπών, ὑπήρεισε τε τὴν σύγκλητον Βουλήν, καὶ πρὸς πάντων εὐφημισθείς, πάσης τε τιμῆς καὶ αἰδοῦς παρ᾽ αὐτῶν τυχών, εἰς

τε τὸν τοῦ Διὸς νεὼν καὶ τὰ λοιπὰ ἱερὰ πεμφθείς, τάς τε ὑπὲρ τῆς βασιλείας θυσίας τελέσας, εἰς τὴν βασίλειον ἐπανῆλθεν αὐλήν.

IV. Ἐπεὶ δὲ διεφοίτησεν ἡ φήμη τῶν τε 1
λεχθέντων ὑπ' αὐτοῦ ἐν τῇ Συγκλήτῳ, καὶ τῶν πρὸς τὸν δῆμον γραφέντων, ὑπερήδοντο πάντες, σεμνὸν καὶ ἤπιον ἄρχοντα καὶ πατέρα, οὐ βασιλέα, ἕξειν ἐλπίζοντες. τούς τε γὰρ στρατιώτας ἐκέλευσε παύσασθαι τῆς πρὸς τοὺς δημότας ὕβρεως, καὶ μήτε πελέκεις φέρειν [μετὰ χεῖρας], μήτε παίειν τινὰ τῶν παριόντων· εἴς τε τὸ κόσμιον καὶ εὔτακτον μετάγειν πάντα ἐπειρᾶτο, ἔν τε ταῖς προόδοις καὶ τοῖς δικαστηρίοις πρᾶον καὶ ἥμερον ἦθος ἐπεδείκνυτο.
καὶ τῆς Μάρκου ἀρχῆς ζήλῳ τε καὶ μιμήσει τοὺς 2
μὲν πρεσβυτέρους ὑπομιμνήσκων εὔφραινε, τοὺς δ' ἄλλους πάντας, ἐξ ὠμῆς καὶ ἐφυβρίστου τυραννίδος εἰς σώφρονα καὶ ἀμέριμνον βίον μεταχθέντας, ῥᾷστα εἰς εὔνοιαν ᾠκειώσατο. τῆς τε ἡμέρου ἀρχῆς ἡ φήμη διαθέουσα πάντα ἔθνη καὶ πάντα στρατόπεδα, ὅσα τε Ῥωμαίοις ὑπήκοα καὶ ὅσα φίλα, ἐκ-
θειάζειν αὐτοῦ τὴν ἀρχὴν ἔπειθεν. ἀλλὰ μὴν καὶ 3
τῶν Βαρβάρων ὅσοι πρότερον ἀφηνίαζον ἢ ἐστασίαζον, φόβῳ τε καὶ μνήμῃ τῆς ἐν ταῖς προτέραις αὐτοῦ στρατείαις ἀρετῆς, πίστει τε γνώμης, ὅτι μηδένα ἑκὼν ἀδικήσει ποτὲ, ἑκάστῳ τὸ κατ' ἀξίαν ἀπονέμων, χάριτος ἀπρεποῦς καὶ βίας ὠμῆς ἀλλότριος, ἑκόντες αὐτῷ προσεχώρουν. πρεσβεῖαί τε πανταχόθεν ἀφικνοῦντο, συνηδομένων ἁπάντων τῇ Ῥωμαίων ὑπὸ Περτίνακι ἀρχῇ.

Οἱ μὲν οὖν ἄλλοι πάντες ἄνθρωποι, καὶ κοινῇ 4
καὶ ἰδίᾳ, τῷ εὐτάκτῳ καὶ ἡμέρῳ τῆς βασιλείας ἔχαιρον. ὃ δὲ πάντας εὔφραινε, τοῦτο μόνους ἐλύπει τοὺς ἐν τῇ Ῥώμῃ στρατιώτας, οἳ δορυφορεῖν εἰώθασι τοὺς βασιλέας. κωλυόμενοι γὰρ ἁρπάζειν τε καὶ ὑβρίζειν, εἴς τε τὸ εὔτακτον καὶ κόσμιον ἀνακαλούμενοι, τὸ πρᾶον καὶ ἥμερον τῆς ἀρχῆς ὕβριν αὐτῶν καὶ ἀτιμίαν, καθαίρεσίν τε τῆς ἀνέτου ἐξουσίας νομίζοντες, τὴν τῆς ἀρχῆς οὐκ ἔφερον εὐταξίαν.

5 ἀλλὰ τὰ μὲν πρῶτα κατ᾽ ὀλίγον ὀκνηρούς τε καὶ ἀπειθεῖς αὐτοὺς τοῖς κελευομένοις παρεῖχον· τὸ δὲ τελευταῖον, οὐδ᾽ ὅλων μηνῶν δύο τῆς βασιλείας αὐτῷ προκεχωρηκυίας, ἐπιδειξαμένου τε ἐν ὀλίγῳ χρόνῳ πολλὰ σώφρονα καὶ χρηστὰ ἔργα, ἐλπίδων τε ἀγαθῶν τοῖς ἀρχομένοις ὑποφαινομένων, ἐβάσκηνε πάντα καὶ ἀνέτρεψε πονηρὰ τύχη, ἐκώλυσέ τε θαυμαστὰ καὶ ἐπωφελῆ τοῖς ὑπηκόοις ἔργα εἰς τέλος ἀχθῆναι.

6 Πρῶτον μὲν γὰρ πᾶσαν τήν τε Ἰταλίαν, καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν ἀγεώργητόν τε καὶ παντάπασιν οὖσαν ἀργὸν, ἐπέτρεψεν, ὁπόσην τὶς βούλεται καὶ δύναται, εἰ καὶ βασιλέως κτῆμα εἴη, καταλαμβάνειν· ἐπιμεληθέντι τε καὶ γεωργήσαντι, δεσπότην εἶναι. ἔδωκέ τε γεωργοῦσιν ἀτέλειαν πάντων εἰς δέκα ἔτη, καὶ διὰ παντὸς δεσποτείας ἀμεριμνίαν.
7 τοῖς τε βασιλικοῖς κτήμασιν ἐκώλυσεν αὐτοῦ τὸ ὄνομα ἐπιγράφεσθαι· εἰπὼν αὐτὰ οὐκ ἴδια τοῦ βασιλεύοντος εἶναι, ἀλλὰ κοινὰ καὶ δημόσια τῆς Ῥωμαίων ἀρχῆς. τέλη τε πάντα πρότερον ἐπὶ τῆς τυραννίδος εἰς εὐπορίαν χρημάτων ἐπινοηθέντα, ἐπί τε ὄχθαις ποταμῶν, καὶ λιμέσι πόλεων, ἔν τε ὁδῶν πορείαις, καταλύσας, εἰς τὸ ἀρχαῖον καὶ ἐλεύθερον ἀφῆκεν. ἐμέλλησε δ᾽ ἂν ἔτι καὶ πλείονα, (ὥς γε τὰ τῆς προαιρέσεως ἐνεδείκνυτο,) εὐεργετήσειν τοὺς ὑπηκόους.

8 Ἐπεὶ καὶ τοὺς συκοφάντας τῆς πόλεως ἦν διώξας, καὶ τοὺς πανταχόθεν κολασθῆναι κελεύσας, τοῦ μηδένα ἐπηρεάζεσθαι, μήτε ματαίοις ἐγκλήμασι περιπίπτειν προνοούμενος. ἐν ἀδείᾳ τε καὶ μακαρίῳ βίῳ ἥ τε Σύγκλητος μάλιστα καὶ οἱ λοιποὶ πάντες
9 βιώσεσθαι προσεδόκων. οὕτω γὰρ μέτριος καὶ ἰσότιμος ἦν, ὡς καὶ τὸν υἱὸν αὐτοῦ, ἤδη μειράκιον ὄντα, μηδὲ εἰς τὴν βασίλειον αὐλὴν ἀναγαγεῖν, ἀλλ᾽ ἔν τε τῇ πατρῴᾳ μένειν οἰκίᾳ, καὶ εἰς τὰ συνήθη προϊόντα διδασκαλεῖα καὶ γυμνάσια, ἰδιωτεύοντα, ὁμοίως τοῖς λοιποῖς παιδεύεσθαί τε καὶ πάντα πράτ-

τειν, οὐδαμοῦ τῦφον ἢ πομπὴν παρεχόμενον βασιλικήν.

V. Τοιαύτης δὲ εὐμοιρίας καὶ εὐταξίας κατεχούσης τὸν βίον, μόνοι οἱ δορυφόροι, ἀσχάλλοντες μὲν ἐπὶ τοῖς παροῦσι, ποθοῦντες δὲ τὰς ἐπὶ τῆς προγενομένης τυραννίδος ἁρπαγάς τε καὶ βίας ἔν τε ἀσωτίαις καὶ κραιπάλαις, ἐβουλεύσαντο ἀποσκευάσασθαι τὸν Περτίνακα, ὡς ὄντα αὐτοῖς βαρὺν καὶ ἐπαχθῆ, ζητῆσαι δέ τινα, τὸν πάλιν αὐτοῖς ἄνετον καὶ ἀκόλαστον παρέξοντα ἐξουσίαν. 1 αἰφνιδίως τοίνυν, οὐδενὸς προςδοκῶντος, ἀλλὰ πάντων ἐν ἡσυχίᾳ διατριβόντων, καὶ θυμῷ καὶ ἀλόγῳ ὁρμῇ [ἐκ] τοῦ στρατοπέδου δρόμῳ φερόμενοι αὐτοί, ἡμέρας ἀκμαζούσης, ἐπεισῆλθον τοῖς βασιλείοις, τά τε δόρατα διατεινάμενοι καὶ τὰ ξίφη σπασάμενοι. 2 τῷ δὲ παραδόξῳ τοῦ ἔργου καὶ ἀνελπίστῳ οἱ ἐν τῇ βασιλείῳ ὑπηρεσίᾳ ταραχθέντες, ὀλίγοι τε πρὸς πολλοὺς καὶ ἄνοπλοι πρὸς ὡπλισμένους, οὐκ ἔμενον· ἀλλ' ἕκαστος, ἣν ἐγκεχείριστο φρουρὰν λιπών, ἢ ἐπὶ τῇ αὐλείῳ, ἢ ἐπὶ ταῖς λοιπαῖς εἰςόδοις, ἔφευγον. 3 ὀλίγοι δέ τινες τῶν εὐνοούντων, διαγγείλαντες τῷ Περτίνακι τὴν ἔφοδον, συνεβούλευον φυγεῖν, τῇ τε τοῦ δήμου βοηθείᾳ ἑαυτὸν ἐπιδοῦναι. ὁ δὲ, καὶ 4 τοῖς συμβουλεύουσιν αὐτῷ πρὸς τὸ παρὸν ὠφέλιμα μὴ πεισθείς, ἀπρεπῆ δὲ καὶ ἀνελεύθερα, βασιλείας τε ἀνάξια καὶ τῶν προβεβιωμένων αὐτῷ καὶ προπεπραγμένων νομίσας, φεύγειν μὲν ἢ λαθεῖν οὐκ ἠθέλησεν, ὁμόσε δὲ χωρήσας τῷ πράγματι, προῆλθεν ὡς διαλεξόμενος αὐτοῖς· ἐλπίσας πείσειν τε αὐτούς, καὶ παύσειν τῆς ἀλόγου εἰς τὸ παρὸν ὁρμῆς. καὶ 5 δὴ τοῦ δωματίου προελθών, ὑπαντώμενος αὐτοῖς, πυνθάνεσθαί τε ἐπειρᾶτο τὰς αἰτίας τῆς ὁρμῆς, πείθειν τε ἐπεχείρει, μὴ ἐνθουσιῶν, μένων καὶ τότε ἐν σώφρονι καὶ σεμνῷ σχήματι, καὶ τηρῶν τὸ τοῦ βασιλέως ἀξίωμα, οὐδέν τι κατεπτηχότος, οὐδὲ καταδειλιῶντος καὶ ἱκετεύοντος σχῆμα ἐνδεικνύμενος.

„Τὸ μὲν ἐμέ, ἔφη, πρὸς ὑμῶν ἀναιρεθῆναι, 6 οὐδέν τι μέγα ἢ βαρὺ πρεσβύτῃ, εἰς μακρὸν γῆρας

ἐνδόξως ἐλάσαντι· παντὶ γὰρ ἀνθρώπων βίῳ ἀνάγ-
κη τέλος ἐπιτεθῆναι· τὸ δὲ ὑμᾶς, φύλακας καὶ
φρουροὺς δοκοῦντας βασιλέως, καὶ τοὺς ἔξωθεν κιν-
δύνους ἀπείργοντας, αὐτοὺς γενέσθαι φονεῖς, καὶ
μὴ μόνον ἐμφυλίῳ, ἀλλὰ καὶ βασιλείῳ μιᾶναι τὰς
δεξιὰς αἵματι, ὁρᾶτε, μὴ πρὸς τὸ νῦν ἀνόσιον, καὶ
ὕστερον ὑμῖν ἐπικίνδυνον ᾖ. οὐ γάρ τι ἐμαυτῷ
7 σύνοιδα λυπήσαντι ὑμᾶς. εἰ δὲ καὶ ἐπὶ τῇ Κομμό-
δου τελευτῇ δυσχεραίνετε, οὐδὲν παράδοξον, ἄνθρω-
πον ὄντα εἰ τελευτὴ κατέλαβεν· εἰ δὲ τοῦτο ἐξ ἐπι-
βουλῆς οἴεσθε γεγενῆσθαι, οὐκ ἐμὸν τὸ ἁμάρτημα.
ἴστε γὰρ, ἔξω πάσης ὄντα με ὑποψίας, καὶ οὐδὲν
ἧττον ὑμῶν ἀγνοοῦντα τὰ τότε πεπραγμένα· ὥς,
εἴ τι ὑποπτεύετε, ἑτέροις ἐπιφέρειν τὸ ἔγκλημα.
8 ἀλλ' ὅμως, τελευτήσαντος κἀκείνου, οὐδὲν ὑμῖν τῶν
εὐπρεπῶς καὶ κατ' ἀξίαν, καὶ ἄνευ τοῦ βιάζεσθαί
με ἢ ἁρπάζειν, ἐνδεήσει."
9 Τοιαῦτά τινα λέγειν αὐτοῖς πειρώμενος, ἤδη
τινὰς αὐτῶν καὶ πείσειν ἔμελλε· καὶ οὐκ ὀλίγοι γε
ἀποστραφέντες ἀνεχώρουν, σεμνοῦ βασιλέως γῆρας
αἰδούμενοι· ἔτι δὲ λαλοῦντα τὸν πρεσβύτην ἐπιπε-
10 σόντες [τινὲς] φονεύουσι. δράσαντές τε οὕτως ὠμὸν
ἔργον, δέει τῶν τετολμημένων φθάσαι θέλοντες τὴν
τοῦ δήμου ἔφοδον, ἐπιστάμενοί τε ὅτι χαλεπῶς τὸ
πλῆθος διοίσει τὰ πεπραγμένα, εἰς τὸ στρατόπεδον
δρόμῳ ἀναχωρήσαντες, ἐντὸς τείχους ἔμενον, φρου-
ρὰς ἐπὶ τῶν πύργων καταστήσαντες, ὡς ἀμύνοιντο,
εἰ τῷ τείχει προσβάλλοι ὁ δῆμος. τέλος μὲν δὴ
τοιοῦτον κατέλαβε Περτίνακα, χρησάμενον βίῳ καὶ
προαιρέσει, ὡς προείρηται.
1 VI. Ἐπειδὴ δὲ διεφοίτησεν εἰς τὸν δῆμον ἡ τοῦ
βασιλέως ἀναίρεσις, ταραχή τε καὶ πένθος πάντας
κατεῖχε, διέθεόν τε ἐνθουσιῶσιν ἐοικότες· κίνησίς
τε ἄλογος κατεῖχε τὸν δῆμον, ζητούντων τοὺς δρά-
σαντας, μήτε δὲ εὑρεῖν, μήτε ἀμύνασθαι δυναμέ-
2 νων. μάλιστά τε δεινῶς ἔφερον τὸ πεπραγμένον,
καὶ συμφορὰν κοινὴν ἐτήρουν οἱ τὴν σύγκλητον Βου-
λὴν νέμοντες, πατέρα τε ἤπιον καὶ χρηστὸν προστά-

την ἀποβαλόντες. πάλιν τε τυραννίδος ἦν δέος, ἐπεὶ
τούτῳ χαίρειν τοὺς στρατιώτας ἤλπιζον.
Μιᾶς δήπου καὶ δευτέρας ἡμέρας διαδραμούσης, 3
οἱ μὲν δημόται, ἕκαστος τὸ καθ᾽ αὑτὸν δεδιὼς,
ὑπανεχώρει· οἵ τε ἐν ἀξιώσει ὄντες εἰς τὰ πορρω-
τάτω τῆς πόλεως κτήματα ἀπεδίδρασκον, ὅπως ἂν
μή τι δεινὸν ἐκ τῆς ἐσομένης ἀρχῆς παρόντες πά-
θοιεν. οἱ δὲ στρατιῶται, ἐπεὶ τόν τε δῆμον ἡσυ- 4
χάζοντα ἔγνωσαν, μήτε τινὰ τολμῶντα ἐπεξελθεῖν
τῷ τοῦ βασιλέως αἵματι, ἔμενον μὲν ἐντὸς τοῦ τεί-
χους, κατακλείσαντες ἑαυτούς. ἀναγαγόντες δὲ τοὺς
εὐφωνοτάτους ἑαυτῶν ἐπὶ τὸ τεῖχος, προεκήρυττον
ὤνιον τὴν βασιλείαν· τῷ τε πλεῖον ἀργύριον δώσον-
τι ἐγχειριεῖν ὑπισχνοῦντο τὴν ἀρχὴν, καὶ διὰ τῶν
ὅπλων αὐτὸν ἀνάξειν ἀδεῶς εἰς τὴν βασίλειον αὐλήν.
ἐπεὶ δὲ τὸ κήρυγμα διεφοίτησεν, οἱ μὲν σεμνότεροί 5
τε καὶ εὐσταθέστεροι τῆς συγκλήτου Βουλῆς, ὅσοι
τε εὐπατρίδαι ἢ ἔτι πλούσιοι, λείψανα ὀλίγα τῆς
Κομμόδου τυραννίδος, οὔτε προσῆλθον τῷ τείχει,
οὔτε ἀπρεπῆ καὶ ἐπονείδιστον χρήμασι κτήσασθαι
τὴν ἀρχὴν ἠθέλησαν.

Ἰουλιανῷ δέ τινι, ἤδη μὲν τὴν ὕπατον τετελε- 6
κότι ἀρχήν, δοκοῦντι δὲ ἐν εὐπορίᾳ χρημάτων εἶ-
ναι, ἑστιωμένῳ δὲ περὶ δείλην ἑσπέραν, διηγγέλθη
τὸ στρατιωτικὸν κήρυγμα παρὰ μέθην καὶ κραιπά-
λην. ἦν γὰρ καὶ τῶν ἐπὶ βίῳ μὴ σώφρονι διαβε-
βλημένων. πείθουσιν οὖν αὐτὸν ἥ τε γυνὴ καὶ ἡ 7
θυγάτηρ καὶ τὸ τῶν παρασίτων πλῆθος, ἀναθο-
ρόντα τοῦ σκίμποδος, δραμεῖν ἐπὶ τὸ τεῖχος, καὶ
τὸ πραττόμενον μαθεῖν· παρά τε πᾶσαν τὴν ὁδὸν
συμβουλεύοντες, ἐῤῥιμμένην τὴν ἀρχὴν ἁρπάσαι,
ἀφειδῶς δὲ χρημάτων ἔχοντα, μεγαλοδωρίᾳ ἅπαντας
ὑπερβαλεῖν, εἴ καί τινες ἀμφισβητοῖεν. ἐπεὶ τοίνυν 8
τῷ τείχει προσῆλθεν, ἐβόα τε, πάντα δώσειν ὅσα
βούλονται ὑπισχνούμενος, παρεῖναί τε αὐτῷ παμ-
πλεῖστα χρήματα καὶ θησαυρούς, χρυσοῦ καὶ ἀρ-
γύρου πεπληρωμένους, ἔλεγε. κατὰ δὲ τὸν αὐτὸν
καιρὸν καὶ Σουλπικιανός, καὶ αὐτὸς ἀνὴρ τῶν ὑπα-

τευκότων, ἔπαρχός τε τῆς πόλεως γενόμενος, (πα-
τὴρ δὲ ἦν τῆς Περτίνακος γυναικός,) ἧκε τὴν ἀρ-
χὴν ὠνούμενος. ἀλλὰ τοῦτον μὲν οὐ προσήκαντο
φοβηθέντες οἱ στρατιῶται τὴν πρὸς τὸν Περτίνακα
συγγένειαν, μή τις ἄρα δόλος εἴη εἰς τὸ ἐκδικηθῆ-
ναι τὸν ἐκείνου φόνον· καθέντες δὲ κλίμακα, τὸν
Ἰουλιανὸν ἐπὶ τὸ τεῖχος ἀνεβίβασαν. οὐ γὰρ πρό-
τερον ἀνοῖξαι τὰς πύλας ἤθελον, πρὶν ἢ τὴν ποσό-
τητα τῶν δοθησομένων χρημάτων μαθεῖν.
9 Ὁ δ᾽ ἀνελθὼν, τήν τε Κομμόδου μνήμην αὐ-
τοῖς καὶ τὰς τιμὰς καὶ τὰς εἰκόνας, ἃς ἡ Σύγκλη-
τος καθεῖλεν, ἀνανεώσεσθαι ὑπέσχετο, καὶ πάντων
δώσειν ἐξουσίαν ὧν εἶχον ἐπ᾽ ἐκείνου, ἑκάστῳ τε
στρατιώτῃ τοσοῦτον ἀργύριον, ὅσον μήτε αἰτῆσαι,
μήτε λήψεσθαι προσεδόκησαν· τὰ δὲ χρήματα μὴ
10 μελλήσειν, ἀλλ᾽ οἴκοθεν ἤδη μεταπέμψεσθαι. τού-
τοις ἀναπεισθέντες οἱ στρατιῶται, καὶ ταύταις ἀρ-
θέντες ταῖς ἐλπίσιν, αὐτοκράτορά τε τὸν Ἰουλιανὸν
ἀναγορεύουσι, καὶ πρὸς τῷ οἰκείῳ ἐκ γένους ὀνό-
ματι Κόμμοδον ἀξιοῦσιν ἀποκαλεῖσθαι. τά τε ση-
μεῖα ἄραντες, καὶ τὰς ἐκείνου εἰκόνας ἀποκαταστή-
11 σαντες, προπέμπειν ἐπειρῶντο. θύσας δὲ ὁ Ἰου-
λιανὸς τὰς νενομισμένας καὶ βασιλείους ἐν τῷ στρα-
τοπέδῳ θυσίας, προήγετο ὑπ᾽ αὐτῶν πλέον τι τῆς
συνηθείας δορυφορούμενος. ἅτε γὰρ βίᾳ καὶ παρὰ
γνώμην τοῦ δήμου, μετά τε αἰσχρᾶς καὶ ἀπρεποῦς
διαβολῆς ὠνησάμενος τὴν ἀρχὴν, εἰκότως ἐδεδίει
12 τὸν δῆμον ὡς ἐναντιωσόμενον. ἀναλαβόντες οὖν
τὰς πανοπλίας, καὶ φράξαντες αὐτοὺς οἱ στρατιῶ-
ται εἰς φάλαγγος σχῆμα, ὡς, εἰ δέοι, καὶ πολεμή-
σοντες, ἐν μέσοις αὐτοῖς ἔχοντες τὸν ἴδιον βασιλέα,
ὑπέρ τε τῆς κεφαλῆς αἰωροῦντες τὰς ἀσπίδας καὶ τὰ
δόρατα, μή που καὶ λίθων τις βολὴ ἀπὸ τῶν δω-
μάτων ἐπὶ τῇ πομπῇ γένοιτο, ἀνήγαγον τὸν Ἰουλιανὸν
εἰς αὐτὰ τὰ βασίλεια· μηδενὸς τῶν δημοτῶν μήτε
ἀντιστῆναι τολμῶντος, μήτε μὴν εὐφημοῦντος, ὥσπερ
εἰώθασι προπέμπειν τοὺς βασιλέας· τοὐναντίον
δὲ καὶ πόῤῥωθεν ἑστῶτες ἐβλασφήμουν καὶ κακῶς

ἠγόρευον, ἅτε χρημάτων ἀντικαταλλαξάμενον τὴν
ἀρχήν.
Τότε δὲ καὶ πρῶτον ὑποδιεφθάρη τὰ τῶν 13
στρατιωτῶν ἤθη· καὶ χρημάτων ἐδιδάχθησαν ἄπλη-
στον καὶ αἰσχρὰν ἐπιθυμίαν, καταφρόνησίν τε τῆς
πρὸς τοὺς ἄρχοντας αἰδοῦς. τὸ γὰρ μήτε τοῖς οὕ-
τως ὠμῶς τετολμημένοις ἐν φόνῳ τῷ βασιλικῷ
ἐπεξιέναι τινά, μήτε τὴν οὕτως ἀπρεπῶς ἐπὶ χρή-
μασι κηρυχθεῖσαν καὶ πραθεῖσαν ἀρχὴν εἶναι τὸν
κωλύοντα, ἀρχηγὸν καὶ αἴτιον ἀπρεποῦς καὶ ἀπει-
θοῦς καταστάσεως καὶ ἐς τὰ ἐπιόντα ἐγένετο, ἀεὶ
τῆς φιλοχρηματίας αὐτοῖς καὶ τῆς τῶν ἀρχόντων
καταφρονήσεως μέχρις αἵματος αὐξηθείσης.

VII. Ὁ δ' οὖν Ἰουλιανὸς, ἐπεὶ παρῆλθεν εἰς 1
τὴν ἀρχήν, τρυφαῖς εὐθέως καὶ κραιπάλαις ἐσχό-
λαζε, τῇ μὲν τῶν δημοσίων ἐπιμελείᾳ ῥαθύμως
προςφερόμενος, εἰς δὲ τὸ ἁβροδίαιτον καὶ ἄσεμνον
ἐπιδιδοὺς ἑαυτόν. εὑρίσκετό τε καὶ τοὺς στρατιώτας
ψευσάμενος καὶ ἀπατήσας, τῷ μὴ δύνασθαι ἀπο-
πληρῶσαι ἃ ὑπέσχετο. οὔτε γὰρ οἴκοθεν ἦν αὐτῷ 2
τοσαῦτα χρήματα, ὅσα ἠλαζονεύσατο, οὔτε μὴν οἱ
δημόσιοι τὶ θησαυροὶ εἶχον, ἀλλὰ πάντα προεκε-
κένωτο τῇ Κομμόδου ἀσωτείᾳ καὶ ἀφειδέσι καὶ ἀκρί-
τοις ἀναλώμασιν. ἐκ δὲ ταύτης τῆς τόλμης καὶ τῆς
αἰτίας οἵ τε στρατιῶται, σφαλέντες τῶν ἐλπίδων,
ὑπηγανάκτουν, ὅ τε δῆμος, αἰσθόμενος τῆς γνώ-
μης τῶν στρατιωτῶν, εἶχον ἐν καταφρονήσει, ὡς
προϊόντα τε κακῶς ἀγορεύειν, ἐπ' αἰσχραῖς τε καὶ
ἀμφιβόλοις ἡδοναῖς σκώπτειν. ἔς τε τὸν ἱππόδρο- 3
μον, ὅπου μάλιστα τὸ πλῆθος συνιὸν ἐκκλησιάζει,
τὸν Ἰουλιανὸν ἐβλασφήμουν· ἀρωγὸν δὲ τῇ Ῥω-
μαίων ἀρχῇ καὶ σεμνῆς βασιλείας προστάτην Νίγρον
ἐπεκαλοῦντο, βοηθεῖν τε αὐτὸν τὴν ταχίστην ἠξίουν,
ὡς ἐφύβριστα πάσχουσιν.
Ἦν δὲ ὁ Νίγρος τῶν μὲν πρὸ πολλοῦ ὑπατευ- 4
σάντων· καθ' ὃν δὲ καιρὸν τὰ προειρημένα ἐν
Ῥώμῃ ἐπράττετο, Συρίας ἡγεῖτο πάσης. πολλὴ δὲ

ἦν καὶ μεγίστη ἀρχὴ τότε, τοῦ δὴ Φοινίκων ἔθνους
παντὸς καὶ τῆς μέχρις Εὐφράτου γῆς ὑπὸ τῇ Νί-
5 γρου ὄντων ἐξουσίᾳ. ἦν δὲ αὐτὸς τὴν μὲν ἡλικίαν
ἤδη μετρίως προβεβηκώς, εὐδοκιμήσας δὲ ἐν πολ-
λαῖς καὶ μεγάλαις πράξεσι. φήμη τε περὶ αὐτοῦ
διεφοίτα ὡς ἐπιεικοῦς καὶ δεξιοῦ, ὡς τὸν τοῦ Περ-
τίνακος βίον ζηλοῦντος· ὑφ᾽ ὧν μάλιστα οἱ Ῥω-
μαῖοι ἐπείθοντο. ἐκάλουν τε αὐτὸν συνεχῶς ταῖς
τοῦ δήμου συνόδοις, καὶ βλασφημοῦντες τὸν Ἰου-
λιανὸν παρόντα, ἐκεῖνον βασιλικαῖς φωναῖς εὐφήμουν
ἀπόντα.
6 Διαγγελθείσης δὲ τῆς τοῦ δήμου Ῥωμαίων
γνώμης, καὶ τῆς ἐπαλλήλου ἐν ταῖς συνόδοις βοῆς,
εἰκότως ὁ Νίγρος ἀναπεισθείς, ῥᾷστά τε αὑτῷ τὰ
πράγματα ὑπακούσεσθαι προσδοκήσας, καὶ μάλιστα
τῷ τὸν Ἰουλιανὸν ὑπό τε τῶν περὶ αὐτὸν στρατιω-
τῶν ἀμελεῖσθαι, διότι τὰς ὑποσχέσεις οὐκ ἐπλήρου
τῶν χρημάτων, ὑπό τε τοῦ δήμου καταφρονεῖσθαι,
ὡς ἀνάξιον ἧς ἐώνητο ἀρχῆς, ἐπιδίδωσιν αὑτὸν τῇ
7 τῆς βασιλείας ἐλπίδι. καὶ τὰ μὲν πρῶτα, κατ᾽ ὀλίγους,
ἡγεμόνας τε καὶ χιλιάρχους, τούς τε τῶν στρατιω-
τῶν ἐξέχοντας, οἴκαδε μεταπεμπόμενος, διελέγετο
καὶ ἀνέπειθε, τὰ ἐκ τῆς Ῥώμης δηλούμενα φανερὰ
ποιῶν· ὡς ἂν διαθέουσα ἡ γνώμη ἔκπυστα καὶ
γνώριμα ποιῇ τοῖς τε στρατιώταις καὶ τοῖς λοιποῖς
8 κατὰ τὴν ἀνατολὴν ἀνθρώποις. οὕτω γὰρ ῥᾷστα
ἤλπιζε πάντας αὑτῷ προσχωρήσειν, πυνθανομένους
ὅτι μὴ αὐτὸς ἐξ ἐπιβουλῆς μνᾶται τὴν ἀρχήν, ἀλλὰ
καλούμενος καὶ βοηθήσων ἄπεισι Ῥωμαίοις δεομέ-
νοις. ἀνεπτόηντο δὲ πάντες, καὶ μηδὲ μελλήσαντες
προσέκειντο, ἐκλιπαροῦντες καὶ αὐτοὶ ἀντιλαμβάνε-
9 σθαι τῶν πραγμάτων. φύσει δὲ κοῦφον τὸ Σύρων
ἔθνος, ἐς καινοτομίαν τε τῶν καθεστηκότων ἐπιτή-
δειον. ἐνῆν δέ τις αὐτοῖς καὶ πόθος τοῦ Νίγρου,
ἠπίως τε ἄρχοντος ἅπασι, τὰ πλεῖστά τε αὐτοῖς
συμπανηγυρίζοντος. φιλέορτοι δὲ φύσει Σύροι· ὧν
μάλιστα οἱ τὴν Ἀντιόχειαν κατοικοῦντες, μεγίστην
πόλιν καὶ εὐδαίμονα, σχεδὸν παρὰ πάντα τὸν ἐνιαυ-

τὸν ἑορτάζουσιν, ἔν τε τῇ πόλει αὐτῇ, καὶ κατὰ τὰ προάστεια. θέας τοίνυν αὐτοῖς συνεχῶς ἐπιτελῶν ὁ Νίγρος, περὶ ἃς μάλιστα ἐσπουδάκασι, καὶ διδοὺς ἄνεσιν εἰς τὸ ἑορτάζειν καὶ εὐφραίνεσθαι, ἅτε ποιῶν κεχαρισμένα, εἰκότως ἐτιμᾶτο.

VIII. Ἅπερ εἰδώς, καλέσας τούς τε πανταχόθεν στρατιώτας εἰς ῥητὴν ἡμέραν, τοῦ τε λοιποῦ πλήθους συνελθόντος, βήματος αὐτῷ κατασκευασθέντος, ἔλεξε τοιάδε ἀνελθών· 1

„Τῆς μὲν ἐμῆς γνώμης τὸ πρᾷον, καὶ πρὸς τὰ μεγάλα τῶν τετολμημένων εὐλαβές, ἴσως ἐστὶν ὑμῖν πάλαι γνώριμον. οὐδ᾽ ἂν νῦν εἰς ὑμᾶς ἦλθον, ταῦτα δημηγορήσων, εἰ ἐκ μόνης προαιρέσεως ἰδιωτικῆς καὶ ἀλόγου ἐλπίδος, ἢ μείζονος ἐλπίδος ἐπιθυμίας ἀνεπειθόμην. ἀλλ᾽ ἐμὲ καλοῦσι Ῥωμαῖοι, καὶ συνεχῶς βοῶντες ἐπείγουσιν ὀρέξαι τε χεῖρα σωτήριον, καὶ οὕτω τὴν ἔνδοξον καὶ ἐνάρετον ἀπὸ προγόνων ἄνωθεν ἀρχὴν μὴ περιϊδεῖν αἰσχρῶς ἐῤῥιμμένην. ὥσπερ δὲ τὸ τοῖς τηλικούτοις ἐπιτολμᾷν, οὐκ οὔσης εὐλόγου προφάσεως, προπετὲς καὶ θρασύ· οὕτω καὶ τὸ πρὸς καλοῦντας καὶ δεομένους ὀκνηρὸν ἀνανδρείας ἅμα καὶ προδοσίας φέρει διαβολήν. διὸ παρῆλθον πευσόμενος ὑμῶν, τίνα γνώμην ἔχοιτε, καὶ πρακτέον ἡγοῖσθε· συμβούλοις τε ὑμῖν καὶ κοινωνοῖς χρησόμενος περὶ τῶν καθεστώτων. τὸ γὰρ ἀποβησόμενον, εἰ εὐτυχηθείη, κοινὴν ἐμοί τε καὶ ὑμῖν τὴν ἀπόλαυσιν παρέξει. οὐ φαῦλαι δὲ οὐδὲ κοῦφαι καλοῦσιν ἐλπίδες, ἀλλ᾽ ὅ τε Ῥωμαίων δῆμος, ᾧ τὴν δεσποτείαν τῶν ἁπάντων ἔνειμαν θεοὶ καὶ τὴν βασιλείαν, ἥ τε ἀρχὴ σαλεύουσα καὶ παρὰ μηδενί πω βεβαίως ἱδρυμένη. ὅθεν ἡμῖν καὶ τὸ τῆς ἐπιχειρήσεως ἀσφαλές, ἔκ τε τῆς τῶν καλούντων γνώμης, καὶ ἐκ τοῦ μηδένα εἶναι τὸν ἀνθεστῶτα, μηδὲ κωλύοντα, ὑπάρξει. καὶ γὰρ οἱ τὰ ἐκεῖθεν ἀγγέλλοντές φασι, μηδὲ τοὺς στρατιώτας, οἳ τὴν ἀρχὴν αὐτῷ χρημάτων ἀπέδοντο, πιστοὺς εἶναι φρουροὺς ὑπηρέτας, μηδὲ πληρώσαντος ἐκείνου ἃ ὑπέσχετο. τίνα τοίνυν ἔχετε γνώμην, δηλώσατε."

[margin numbers: 2 at "καὶ πρὸς", 3 at "ἐπιτολμᾷν", 4 at "οὐδὲ", 5 at "τῆς"]

6 Τοιαῦτά τινα εἰπόντος αὐτοῦ, εὐθέως τὸ στρα-
τιωτικὸν πᾶν καὶ τὸ συνειλεγμένον πλῆθος αὐτοκρά-
τορά τε ἀνεῖπε, καὶ Σεβαστὸν προσηγόρευσε· τήν
τε βασίλειον πορφύραν περιβαλόντες, καὶ τὰ λοιπὰ
τῆς σεβασμίου τιμῆς ἐξ αὐτοσχεδίου παρασκευῆς
ἀθροίσαντες, καὶ προπομπεύοντος τοῦ πυρός, εἴς
τε τὰ ἱερὰ τῆς Ἀντιοχείας τὸν Νίγρον ἄγουσι, καὶ
εἰς τὴν ἑαυτοῦ οἰκίαν καθιστᾶσιν· οὐκέτι αὐτὴν
ἰδιωτικὴν, ἀλλὰ βασίλειον αὐλὴν νομίζοντες, πᾶσι
κοσμήσαντες ἔξωθεν βασιλικοῖς συμβόλοις.
7 Ἐπὶ τούτοις δὴ ὁ Νίγρος πάνυ τὴν ψυχὴν ηὐ-
φραίνετο, ὠχυρῶσθαί τε αὐτῷ τὰ τῆς ἀρχῆς ἡγεῖ-
το, διά τε τὴν τῶν Ῥωμαίων γνώμην, καὶ τὴν πε-
ρὶ αὐτὸν σπουδὴν τῶν ἀνθρώπων. ὡς γὰρ διϊπτα-
μένη ἡ φήμη πάντα ἐπῆλθεν ἔθνη, ὅσα τὴν ἀντι-
κειμένην ἤπειρον τῇ Εὐρώπῃ κατοικεῖ, οὐδείς τε ἦν
ὃς οὐχ ἑκὼν εἰς τὸ ὑπακούειν αὐτῷ ἠπείγετο, πρεσ-
βεῖαί τε ἀπ᾽ ἐκείνων τῶν ἐθνῶν ἐς τὴν Ἀντιόχειαν
8 ὡς πρὸς βασιλέα ὁμολογούμενον ἐστέλλοντο. οἵ τε
ἐπέκεινα Τίγριδος καὶ Εὐφράτου σατράπαι καὶ βα-
σιλεῖς ἐπέστελλον συνηδόμενοι αὐτῷ, καὶ, εἰ δέοιτο,
βοηθείας ὑπισχνοῦντο. ὁ δὲ δώροις τε αὐτοὺς με-
γαλοπρεπῶς ἠμείβετο, καὶ ἐπὶ τῇ σπουδῇ καὶ ὑπο-
σχέσεσι χάριν γιγνώσκων, ἔλεγε μὴ δεῖσθαι συμ-
μάχων· τὴν γὰρ ἀρχὴν αὐτῷ βεβαίως ὠχυρῶσθαι,
ἀναιμωτί τε ἄρξειν.
9 Ταύταις ἐπαιρόμενος ταῖς ἐλπίσιν, ὑπτίαζέ τε
πρὸς τὴν τῶν πραγμάτων ἐπιμέλειαν, καὶ ἐς τὸ
ἁβροδίαιτον ἀνειμένος, τοῖς Ἀντιοχεῦσι συνευφραί-
νετο, ἑορταῖς καὶ θέαις ἐπιδιδοὺς ἑαυτόν. τῆς τε
εἰς τὴν Ῥώμην ἀφόδου, ἐφ᾽ ἣν μάλιστα ἐχρῆν
10 σπεύδειν, ἠμέλει. τοῖς τε Ἰλλυρικοῖς στρατεύμασι
δέον ἐπιφοιτῆσαι τὴν ταχίστην, καὶ φθάσαι οἰκειω-
σάμενον αὐτά, ὁ δὲ οὐδὲ τῶν πραττομένων τι αὐ-
τοῖς ἐδήλου· ἐλπίζων, τοὺς ἐκεῖ στρατιώτας, εἴ
ποτε καὶ μάθοιεν, ὁμογνώμονας ἔσεσθαι τῇ τε Ῥω-
μαίων εὐχῇ, καὶ τῇ τῶν κατὰ τὴν ἀνατολὴν στρα-
τοπέδων γνώμῃ.

IX. Ταῦτα δὲ αὐτοῦ διατυποῦντος, καὶ κούφαις καὶ ἀδήλοις ἐπαιωρουμένου ἐλπίσι, διηγγέλλετο τὰ πραττόμενα εἴς τε Παίονας καὶ Ἰλλυριοὺς καὶ πᾶν τὸ ἐκεῖσε στρατιωτικόν, ὃ ταῖς ὄχθαις τοῦ Ἴστρου καὶ Ῥήνου ἐπικείμενον, ἀπεῖργον τοὺς ἐπέκεινα Βαρβάρους, φρουρεῖ τὴν Ῥωμαίων ἀρχήν. 1

Ἡγεῖτο δὲ Παιόνων πάντων (ὑπὸ μιᾷ γὰρ ἦσαν ἐξουσίᾳ) Σεβῆρος, ἀνὴρ τὸ μὲν γένος Λίβυς, ἐς δὲ τὴν τῶν πραγμάτων διοίκησιν γενναῖος ἅμα καὶ θυμοειδής, σκληρῷ τε βίῳ καὶ τραχεῖ ἐνειθισμένος, πόνοις τε ἀντέχων ῥᾷστα· νοῆσαί τε ὀξύς, καὶ τὸ νοηθὲν ἐπιτελέσαι ταχύς. οὗτος τοίνυν, παρὰ τῶν ἀγγελλόντων πυνθανόμενος τὴν Ῥωμαίων ἀρχὴν, μετέωρον φερομένην, ἁρπάζεσθαι, καταγνοὺς τοῦ μὲν ῥαθυμίαν, τοῦ δὲ δυςπραγίαν [ἐν τοῖς πράγμασιν·] ἀνέπειθε δὲ αὐτὸν ὀνείρατα, τοιαύτην τινὰ ἐλπίδα ὑποσημαίνοντα, χρησμοί τε καὶ ὅσα εἰς πρόγνωσιν τῶν μελλόντων σύμβολα φαίνεται· ἅπερ πάντα ἀψευδῆ καὶ ἀληθῆ τότε πιστεύεται, ὅταν εἰς τὴν ἀπόβασιν εὐτυχηθῇ. τὰ μὲν οὖν πολλὰ ἱστόρησεν αὐτός τε συγγράψας ἐν τῷ καθ᾽ αὑτὸν βίῳ, καὶ δημοσίαις ἀνέθηκεν εἰκόσι. τὸ δ᾽ οὖν τελευταῖον καὶ μέγιστον, ὅπερ αὐτῷ καὶ τὴν ἐλπίδα πᾶσαν ὑπέφαινεν, ὄναρ, οὐδ᾽ ἡμῖν παραλειπτέον. κατὰ γὰρ καιρόν, ὃν ἀπηγγέλη Περτίναξ παραλαβὼν τὴν ἀρχήν, μετὰ τὸ προελθεῖν καὶ θῦσαι, ὁ Σεβῆρος, καὶ τὸν ὑπὲρ τῆς Περτίνακος βασιλείας ὅρκον ἀφοσιώσασθαι, ἐπανελθὼν εἰς τὴν οἰκίαν, ἑσπέρας καταλαβούσης εἰς ὕπνον κατηνέχθη, μέγαν [τε] καὶ γενναῖον ἵππον βασιλικοῖς φαλάροις κεκοσμημένον ᾠήθη βλέπειν, φέροντα ἐποχούμενον τὸν Περτίνακα διὰ μέσης τῆς ἐν Ῥώμῃ ἱερᾶς ὁδοῦ. ἐπεὶ δὲ κατὰ τὴν ἀρχὴν τῆς ἀγορᾶς ἐγένετο, ἔνθα ἐπὶ τῆς δημοκρατίας πρότερον ὁ δῆμος συνιὼν ἐκκλησίαζεν, ᾠήθη τὸν ἵππον ἀποσείσασθαι μὲν τὸν Περτίνακα καὶ ῥίψαι· αὐτῷ δὲ ἄλλως ἑστῶτι ὑποδῦναί τε αὐτόν, καί, ἀράμενον ἐπὶ τοῖς νώτοις, φέρειν τε ἀσφαλῶς, καὶ στῆναι βεβαίως ἐπὶ τῆς ἀγορᾶς μέσης,

(margin numbers: 2 at "Ἡγεῖτο", 3 at "νοηθὲν ἐπιτελέσαι ταχύς. οὗτος τοίνυν", 4 at "τὴν ἀπόβασιν εὐτυχηθῇ", 5 at "ὑπέφαινεν, ὄναρ", 6 at "διὰ μέσης τῆς ἐν Ῥώμῃ")

εἰς ὕψος ἄραντα τὸν Σεβῆρον, ὡς ὑπὸ πάντων ὁρᾶσθαί τε καὶ τιμᾶσθαι. μένει δὲ καὶ εἰς ἡμᾶς ἐν ἐκείνῳ τῷ χωρίῳ ἡ τοῦ ὀνείρατος εἰκὼν μεγίστη,
7 χαλκοῦ πεποιημένη. οὕτω τοίνυν ὁ Σεβῆρος ἀρθεὶς τὴν γνώμην, ἐλπίζων τε θείᾳ προνοίᾳ ἐπὶ τὴν ἀρχὴν καλεῖσθαι, ἀπόπειραν ἐποιεῖτο τῆς τῶν στρατιωτῶν γνώμης· τὰ μὲν πρῶτα, κατ᾽ ὀλίγους, ἡγεμόνας τε καὶ χιλιάρχας, τούς τε ἐν τοῖς στρατοπέδοις ἐξέχοντας, οἰκειούμενος, καὶ περὶ τῆς ἀρχῆς τῶν Ῥωμαίων διαλεγόμενος, ὡς παντάπασιν ἔῤῥιπται, οὐδενὸς ὄντος τοῦ γενναίως ἢ κατ᾽ ἀξίαν αὐτὴν διοικοῦντος.

8 Διέβαλλε δὲ τοὺς ἐν Ῥώμῃ στρατιώτας ὡς ἀπίστους, καὶ βασιλείῳ καὶ ἐμφυλίῳ αἵματι μιάναντας τὸν ὅρκον· ἔλεγέ τε, δεῖν ἐπαμῦναι καὶ ἐπεξελθεῖν τῷ Περτίνακος φόνῳ. ᾔδει δὲ, πάντας τοὺς κατὰ τὸ Ἰλλυρικὸν στρατιώτας μεμνημένους τῆς
9 Περτίνακος ἡγεμονίας. ὑπὸ γὰρ Μάρκῳ βασιλεύοντι πολλὰ ἐγείρας σὺν αὐτοῖς κατὰ Γερμανῶν τρόπαια, στρατηγός τε καὶ ἡγεμὼν τῶν Ἰλλυρικῶν κατασταθεὶς, ἀνδρείαν μὲν πᾶσαν ἐν ταῖς μάχαις πρὸς τοὺς πολεμίους ἐπεδέδεικτο, εὔνοιαν δὲ καὶ χρηστότητα μετὰ σώφρονος καὶ ἐπιεικοῦς ἐξουσίας τοῖς ἀρχομένοις παρέσχετο. ὅθεν αὐτοῦ τὴν μνήμην τιμῶντες, ἐπὶ τοῖς οὕτως ὠμῶς κατ᾽ αὐτοῦ τετολμημένοις ἠγα-
10 νάκτουν. ταύτης δὴ τῆς προφάσεως λαβόμενος ὁ Σεβῆρος, εὐμαρῶς αὐτοὺς, ἐφ᾽ ἃ ἐβούλετο, ὑπηγάγετο· προσποιούμενος, οὐχ οὕτω τῆς ἀρχῆς ἀντιποιεῖσθαι, οὐδ᾽ αὐτῷ τὴν ἐξουσίαν μνᾶσθαι, ὡς
11 θέλειν ἐπεξελθεῖν τοιούτου βασιλέως αἵματι. ὥσπερ δὲ τὰ σώματα οἱ ἐκεῖσε ἄνθρωποι γενναιότατοί τε καὶ μεγάλοι εἰσὶ, καὶ πρὸς μάχας ἐπιτήδειοι καὶ φονικώτατοι· οὕτω καὶ τὰς διανοίας παχεῖς, καὶ μὴ ῥᾳδίως συνεῖναι δυνάμενοι, εἴ τι μετὰ πανουργίας ἢ δόλου λέγοιτο ἢ πράττοιτο. πιστεύσαντες γοῦν τῷ Σεβήρῳ, προσποιουμένῳ χαλεπαίνειν καὶ θέλειν ἐπεξελθεῖν τῷ Περτίνακος φόνῳ, ἐπέδοσαν αὑτοὺς, ὡς αὐτοκράτορά τε ἀποδεῖξαι, καὶ τὴν

ἀρχὴν ἐγχειρίσαι. ὁ δ' ὡς ἔγνω τὴν τῶν Παιόνων 12
γνώμην, διέπεμψε καὶ εἰς τὰ γειτνιῶντα ἔθνη, καὶ
πρὸς πάντας τοὺς ἄρχοντας τῶν ὑπ' ἄρκτῳ Ῥω-
μαίοις δουλευόντων ἐθνῶν. μεγάλαις τε πάντας
ὑποσχέσεσι καὶ ἐλπίσιν ἀναπείθων, ῥᾳδίως ὑπηγά-
γετο. ἱκανώτατος δ' ἦν πάντων ἀνθρώπων μάλιστα, 13
προσποιήσασθαί τε καὶ πιστώσασθαι εὔνοιαν, μήτε
ὅρκου φειδόμενος, εἰ δέοι τούτου καταφρονῆσαι,
ψευσάμενος πρὸς τὸ χρειῶδες· διά τε γλώττης
προΐετο, ὅσα μὴ ἔφερεν ἐπὶ γνώμης.

X. Θεραπεύσας οὖν διὰ γραμμάτων πάντας 1
τοὺς κατὰ τὸ Ἰλλυρικὸν.. ἅμα καὶ ἄρχοντας, προση-
γάγετο αὐτούς. ἀθροίσας δὲ τοὺς πανταχόθεν στρα-
τιώτας, ἀντὶ Σεβήρου τε ἑαυτὸν Περτίνακα ὀνο-
μάσας, (ὅπερ οὐ μόνον ἤλπιζε τοῖς Ἰλλυρικοῖς εἶναι
κεχαρισμένον, ἀλλὰ καὶ τῷ δήμῳ τῶν Ῥωμαίων,
διὰ τὴν ἐκείνου μνήμην,) συγκαλέσας τε αὐτοὺς
εἰς τὸ πεδίον, καὶ βήματος αὐτῷ ἀρθέντος, ἀνελ-
θὼν ἔλεξε τοιάδε·

„Τὸ πιστὸν ὑμῶν καὶ πρός τε θεοὺς σεβά- 2
σμιον, οὓς ὄμνυτε, πρός τε βασιλέας τίμιον, οὓς
αἰδεῖσθε, δεδηλώκατε δι' ὧν ἀγανακτεῖτε ἐφ' οἷς οἱ
κατὰ τὴν Ῥώμην στρατιῶται, πομπῆς μᾶλλον ἢ
ἀνδρείας ὑπηρέται, ἐτόλμησαν. κἀμοὶ δὲ δι' εὐχῆς
ἐστι, πρότερον μὲν οὐδ' ἄλλοτε ἀντιποιησαμένῳ
τοιαύτης ἐλπίδος, (ἴστε γάρ μου τὸ πρὸς τοὺς βα-
σιλεύσαντας πειθήνιον,) νῦν δὲ ἐπὶ τέλος τε ἀγα-
γεῖν καὶ ἀνύσαι ταῦτα, ἅπερ ἐστὶν ὑμῖν κεχαρι-
σμένα, τήν τε Ῥωμαίων ἀρχὴν μὴ περιϊδεῖν ἐῤῥιμ-
μένην· ἣ πρότερον μὲν μέχρι καιρῶν σεμνοπρεπῶς 3
διοικουμένη, σεβάσμιος ἐφαίνετο, εἰς Κόμμοδον δὲ
μεταπεσοῦσα, εἰ καὶ τινα ὑπ' ἐκείνου διὰ νεότητα
ἐπλημμελεῖτο, ἀλλ' οὖν τῇ εὐγενείᾳ καὶ τῇ τοῦ
πατρὸς μνήμῃ ἐπεσκιάζετο· καὶ πλέον ἦν ἐν αὐτῷ
τὸ ἐλεούμενον ἐφ' οἷς ἐσφάλλετο, ἢ τὸ μισούμενον,
ἐπεὶ τὰ πλεῖστα τῶν γινομένων οὐκ εἰς ἐκεῖνον ἀνε-
φέρομεν, ἀλλ' εἰς τοὺς περὶ αὐτὸν κόλακάς τε καὶ
οὐ πρεπόντων ἔργων ὁμοῦ συμβούλους τε καὶ ὑπη-

4 ρέτας. ἐπεὶ δὲ εἰς σεμνὸν πρεσβύτην, οὗ τῆς ἀν-
δρείας τε καὶ χρηστότητος ἔτι ταῖς ψυχαῖς ἡμῶν
μνήμη ἐνέστακται, περιῆλθεν ἡ ἀρχή· οἱ δὲ οὐκ
ἠνέσχοντο, ἀλλὰ τοιοῦτον ἄνδρα φόνῳ ἀπεσκευά-
σαντο. τὴν δὲ γῆς καὶ θαλάττης τοσαύτην ἀρχὴν
ὠνησάμενός τις αἰσχρῶς, πρός τε τοῦ δήμου, ὡς
ἀκούετε, μεμίσηται, πρός τε τῶν ἐκεῖ στρατιωτῶν
5 οὓς ἐψεύσατο, οὐκ ἔτι πιστεύεται. ὧν, εἰ καὶ
ἔμελλον ὑπὲρ αὐτοῦ παρατάξασθαι μετ᾽ εὐνοίας,
καὶ πλήθει σύμπαντες καὶ καθ᾽ ἕνα ἕκαστον εὐανδρείᾳ
προὔχετε, ἀσκήσει τε πολεμικῶν. ἐγγεγύμνασθε
ὑμεῖς μὲν, ἀεὶ Βαρβάροις ἀντιταττόμενοι, καὶ φέρειν
πόνους πάντας πορείας, κρύους τε καὶ θάλπους
καταφρονεῖν, ποταμούς τε πηγνυμένους πατεῖν, καὶ
πίνειν ὀρυττόμενον, ἀλλ᾽ οὐκ ἀνιμώμενον ὕδωρ
εἰθισμένοι, θήραις τε ἐγγεγύμνασθε· καὶ πάντως
ὑμῖν εἰς ἀνδρείαν ὑπάρχει γενναῖα ἐφόδια, ὡς μηδὲ,
6 εἰ βουληθείη τις, δύνασθαι ὑμῖν ἀντιστῆναι. δοκί-
μιον δὲ στρατιωτῶν κάματος, ἀλλ᾽ οὐ τρυφή·
ἧπερ ἐκεῖνοι ἐγκραιπαλῶντές τε καὶ ἐναυξηθέντες,
οὐδ᾽ ἂν τῆς βοῆς ὑμῶν ἀνάσχοιντο, οὔτι γε τῆς
μάχης. εἰ δέ τινες τὰ κατὰ Συρίαν ὑποπτεύοιεν
πράγματα, ἐντεῦθεν ἂν τεκμήραιντο ἀσθενῆ τε ὄντα
καὶ φαύλας ἔχοντα τὰς ἐλπίδας, ὅπου μηδὲ προελθεῖν
τῆς αὐτῶν χώρας ἐτόλμησαν, μηδέ τι περὶ τῆς εἰς
Ῥώμην ἀφόδου βουλεύσασθαι ἐθάῤῥησαν, ἀγαπη-
τῶς ἐκεῖ μένοντες, καὶ ἐφήμερον τρυφὴν κέρδος τῆς
7 οὔπω βεβαίας ἀρχῆς νομίζουσιν. ἐπὶ μὲν γὰρ τὸ
χαριέντως καὶ μετὰ παιδιᾶς ἀποσκῶψαι ἐπιτήδειοι
Σύροι, καὶ μάλιστα οἱ τὴν Ἀντιόχειαν οἰκοῦντες,
[οὓς] φασι περὶ τὸν Νίγρον ἐσπουδακέναι· τὰ δ᾽
ἄλλα ἔθνη καὶ αἱ ἄλλαι πόλεις μέχρι νῦν, τῷ μη-
δένα εὑρίσκεσθαι τὸν ἄξιον τῆς ἀρχῆς ἐσόμενον,
σπάνει τοῦ μετὰ ἀνδρείας καὶ σώφρονος διοικήσεως
ἄρξοντος, ἐκείνῳ δηλονότι προσποιοῦνται ὑπακούειν.
8 εἰ δὲ τήν τε Ἰλλυρικὴν δύναμιν ἅμα χειροτονήσασαν
μάθοιεν, τό τε ἡμέτερον ὄνομα πύθοιντο, οὐκ
ἄγνωστον οὐδ᾽ ἄσημον παρ᾽ αὐτοῖς ὑπάρχον, ἐξ ὧν

ἡγεμονεύσαντες ἐκεῖσε διῳκήσαμεν· εὖ ἴστε, οὔτε ἐμοῦ ῥᾳθυμίαν ἢ ἀδρανίαν καταγνώσονται, οὔτε τὸ ὑμέτερον γενναῖον καὶ πρὸς τὰς μάχας ἐμβριθὲς ὑποστῆναι αἱρήσονται, καὶ σωμάτων μεγέθεσι καὶ πόνων ἀσκήσεσι καὶ ἐν τῇ συστάδην μάχῃ πολὺ ὑμῶν ἀπολειπόντες. φθάσωμεν οὖν τὴν Ῥώμην 9
προκαταλαβόντες, ἔνθα ἡ βασίλειός ἐστιν ἑστία· κἀκεῖθεν ὁρμώμενοι, τὰ λοιπὰ εὐμαρῶς διοικήσομεν, θείαις τε προῤῥήσεσι πιστεύοντες, καὶ τῇ τῶν ὑμετέρων ἀνδρείᾳ ὅπλων τε καὶ σωμάτων."

Τοιαῦτα εἰπόντα τὸν Σεβῆρον εὐφημήσαντες οἱ στρατιῶται, καλοῦντες Σεβαστὸν καὶ Περτίνακα, πᾶσαν ἐνεδείκνυντο προθυμίαν καὶ σπουδήν.

XI. Ὁ δὲ Σεβῆρος, μηδένα διδοὺς καιρὸν ἀνα- 1
βολῆς, συσκευάσασθαί τε αὐτοὺς ὡς ἔνι μάλιστα εὐτελέστατα ἐκέλευσε, τήν τε εἰς τὴν Ῥώμην ἔξοδον ἐπήγγειλε· νομάς τε αὐτοῖς διδοὺς καὶ ἐφόδια, τῆς ὁδοιπορίας εἴχετο. συντόνῳ δὲ σπουδῇ καὶ γενναίοις πόνοις τὴν ὁδὸν ἐπετάχυνε, μήτε που ἐπιδιατρίβων, μήτε διδοὺς καιρὸν ἀναπαύλης, εἰ μὴ τοσοῦτον, ὅσον ὀλίγον τοὺς στρατιώτας ἀναπνεύσαντας ἔχεσθαι τῆς ὁδοῦ. ἐκοινώνει δὲ τῶν καμάτων αὐτοῖς, σκηνῇ 2
τε χρώμενος εὐτελεῖ, καὶ σιτία καὶ ποτὰ προςφερόμενος, ὅσα καὶ πᾶσιν ὑπάρχειν ἠπίστατο· οὐδαμοῦ δὲ τρυφὴν ἐνεδείκνυτο βασιλικήν. ὅθεν καὶ μείζονα παρὰ τῶν συστρατιωτῶν εὔνοιαν ἐπιστώσατο. οὐ γὰρ μόνον αὐτὸν συμπονοῦντα, ἀλλὰ καὶ τῶν καμάτων ἄρχοντα οἱ στρατιῶται αἰδούμενοι, μετὰ προθυμίας πάντα ἔπραττον.

Ὁ δὲ, τὴν Παιονίαν διαδραμὼν, ἐπέστη τοῖς 3
τῆς Ἰταλίας ὅροις· καὶ τὴν φήμην φθάσας, πρότερον ὤφθη τοῖς ἐκεῖσε παρὼν βασιλεὺς, ἢ ἀφιξόμενος ἠκούσθη. δέος τε μέγα τὰς Ἰταλιώτιδας πόλεις κατελάμβανε, πυνθανομένας τοσαύτην ἔφοδον στρατοῦ. οἱ γὰρ κατὰ τὴν Ἰταλίαν ἄνθρωποι, ὅπλων καὶ πολέμων πάλαι ἀπηλλαγμένοι, γεωργίᾳ καὶ εἰρήνῃ προςεῖχον. ἐς ὅσον μὲν γὰρ ὑπὸ δημοκρατίας τὰ 4
Ῥωμαίων διῳκεῖτο, καὶ ἡ Σύγκλητος ἐξέπεμπε τοὺς

τὰ πολεμικὰ στρατηγήσοντας, ἐν ὅπλοις Ἰταλιῶται
πάντες ἦσαν, καὶ γῆν καὶ θάλατταν ἐκτήσαντο,
Ἕλλησι πολεμήσαντες καὶ Βαρβάροις· οὐδέ τι ἦν
γῆς μέρος, ἢ κλίμα οὐρανοῦ, ὅπου μὴ Ῥωμαῖοι τὴν
5 ἀρχὴν ἐξέτειναν. ἐξ οὗ δὲ εἰς τὸν Σεβαστὸν περι-
ῆλθεν ἡ μοναρχία, Ἰταλιώτας μὲν πόνων ἀνέπαυ-
σε, καὶ τῶν ὅπλων ἐγύμνωσε, φρούρια δὲ καὶ στρα-
τόπεδα τῆς ἀρχῆς προὐβάλετο, μισθοφόρους ἐπὶ
ῥητοῖς σιτηρεσίοις στρατιώτας καταστησάμενος, ἀντὶ
τείχους τῆς Ῥωμαίων ἀρχῆς· ποταμῶν τε μεγέθεσι
καὶ τάφρων ἢ ὀρῶν προβλήμασιν, ἐρήμῳ τε γῇ καὶ
δυσβάτῳ φράξας τὴν ἀρχὴν ὠχυρώσατο.
6 Ὅθεν τὸν Σεβῆρον προσιόντα πυνθανόμενοι
τότε μετὰ τοσούτου στρατοῦ, εἰκότως ἐταράττον-
το τῷ ἀήθει τοῦ πράγματος· οὔτε δὲ ἀντιστῆναι
ἢ κωλῦσαι ἐτόλμων, ὑπήντων δὲ δαφνηφοροῦντες,
καὶ πύλαις ἀναπεπταμέναις ἐδέχοντο. ὁ δὲ τοσοῦ-
τον ἀνεπαύετο, ὅσον καλλιερῆσαί τε καὶ τοὺς δή-
μους προςειπεῖν, εἰς δὲ τὴν Ῥώμην ἠπείγετο.
Ὡς δὲ ταῦτα τῷ Ἰουλιανῷ ἀπηγγέλλετο, ἐν
ἐσχάτῃ ἀπογνώσει ἦν, τοῦ μὲν Ἰλλυρικοῦ στρατοῦ
τὴν δύναμιν καὶ τὸ πλῆθος ἀκούων, οὔτε δὲ τῷ δή-
μῳ πιστεύων, ἐπεὶ μεμίσητο, οὔτε τοῖς στρατιώταις
7 θαῤῥῶν, οὓς ἔψευστο. χρήματα δὴ πάντα ἀθροί-
ζων, τά τε αὐτοῦ καὶ παρὰ τῶν φίλων, καὶ, εἴ
τινα ἦν, ἐκ δημοσίων καὶ ἱερῶν τόπων λαμβάνων,
τοῖς στρατιώταις διανέμειν ἐπειρᾶτο, ὡς ἂν κτή-
σαιτο τὴν εὔνοιαν αὐτῶν. οἱ δὲ, καίτοι μεγάλα
λαμβάνοντες, χάριν οὐκ ᾔδεσαν· ὄφλημα γὰρ αὐτὸν
ἀποτίνειν, ἀλλ' οὐ δωρεὰν διανέμειν ἐλογίζοντο.
8 Ὁ δὲ Ἰουλιανὸς, καίτοι συμβουλευόντων αὐτῷ
τῶν φίλων, ἐξαγαγεῖν τὸ στρατιωτικὸν καὶ τὰ στε-
νὰ τῶν Ἄλπεων προκαταλαβεῖν, (μέγιστα ἐκεῖνα
ὄρη, καὶ οἷα οὐκ ἄλλα ἐν τῇ καθ' ἡμᾶς γῇ, ἐν τείχους
σχήματι περίκειται καὶ προβέβληται Ἰταλίας· καὶ
τοῦτο μετὰ τῆς ἄλλης εὐδαιμονίας παρασχούσης
τῆς φύσεως Ἰταλιώταις, ἔρυμα ἄῤῥηκτόν τε καὶ ..
αὐτῶν προβεβλῆσθαι, ἀπὸ τῆς ἀρκτῴας θαλάσσης

ἐπὶ τὴν πρὸς μεσημβρίαν βλέπουσαν διῆκον,) ἀλλ'
οὐδὲ τῆς πόλεως προελθεῖν Ἰουλιανὸς ἐτόλμα·
διέπεμπέ τε, τῶν στρατιωτῶν δεόμενος ὁπλίζεσθαί
τε καὶ γυμνάζεσθαι, πρὸ δὲ τῆς πόλεως τάφρους
διορύττειν. καὶ τὴν πρὸς Σεβῆρον μάχην ὡς ἐν τῇ 9
πόλει ποιησόμενος, παρεσκεύαζε· τούς τε ἐλέφαντας
πάντας, οὓς εἰς πομπὴν ὑπηρετῶν.... ἐπὶ νώτων
φέρειν ἐπειρᾶτο παιδεύειν, οἰόμενος οὕτως ἐκπλήξειν
τούς τε Ἰλλυρικούς, καὶ τὴν τῶν πολεμίων ἵππον
διαταράξειν ὄψει καὶ μεγέθει θηρίων, μὴ πρότερον
αὐτοῖς ἑωραμένων. τότε δὴ πᾶσα ἡ πόλις ὅπλα
εἰργάζετο, καὶ τὰ πρὸς πόλεμον παρεσκευάζετο.

XII. *Μελλόντων* δὲ τῶν Ἰουλιανοῦ στρατιωτῶν 1
καὶ τὰ πρὸς πόλεμον ἕτοιμα ποιούντων, ἀγγέλλεται
ὁ Σεβῆρος ἤδη προσιών. καὶ πολὺ τοῦ στρατεύ-
ματος μέρος διασκεδάσας ἐκεῖνος, κελεύει παρεισ-
δύεσθαι εἰς τὴν πόλιν. οἱ δὲ κατὰ πάσας ὁδοὺς
διανείμαντες αὑτούς, πολλοὶ δ' εἰς Ῥώμην νύκτωρ
λανθάνοντες εἰσῄεσαν, τὰ ὅπλα ἐπικρύπτοντες, ἐν
ἰδιωτῶν σχήματι. καὶ ἤδη οἱ πολέμιοι ἔνδον ἦσαν, 2
τοῦ Ἰουλιανοῦ ἔτι ὑπτιάζοντος καὶ τὰ πραττόμενα
ἀγνοοῦντος. ἐπεὶ δὲ ταῦτα διάπυστα τῷ δήμῳ
ἐγένετο, ἐν ταραχῇ πολλῇ πάντες ἦσαν· καὶ δε-
διότες τὴν δύναμιν τοῦ Σεβήρου, τὰ ἐκείνου φρο-
νεῖν προσεποιοῦντο, τοῦ μὲν Ἰουλιανοῦ καταγι-
γνώσκοντες ἀνανδρίαν, τοῦ δὲ Νίγρου μέλλησίν τε
καὶ ῥαθυμίαν· τὸν δὲ Σεβῆρον ἀκούοντες ἤδη
παρόντα ἐθαύμαζον. ὁ δὲ Ἰουλιανός, πολλῇ κατα- 3
λαμβανόμενος ἀφασίᾳ τε καὶ ἀπορίᾳ, ὅπως χρήσε-
ται τοῖς πράγμασιν οὐκ εἰδώς, ἀθροισθῆναι κε-
λεύσας τὴν Σύγκλητον, καταπέμπει γράμματα, δι'
ὧν ἐσπένδετο δὴ πρὸς τὸν Σεβῆρον, καὶ αὐτοκρά-
τορα ἀναδείξας, κοινωνὸν τῆς βασιλείας ἐποιεῖτο.
ἡ δὲ Σύγκλητος ἐψηφίσατο μὲν ταῦτα· ὁρῶντες δὲ
τὸν Ἰουλιανὸν ἀποδειλιῶντα καὶ ἐν ἀπογνώσει, τῷ
Σεβήρῳ πάντες ἤδη προσετίθεντο. δύο δέ που ἢ 4
τριῶν ἡμερῶν παραδραμουσῶν, ἐπείπερ ἤδη τὸν
Σεβῆρον καὶ αὐτῇ τῇ πόλει ἐπιστησόμενον ἤκουον,

καταφρονήσαντες τοῦ Ἰουλιανοῦ, συνίασιν εἰς τὸ
συνέδριον, τῶν ὑπάτων κελευσάντων, οἳ τὰ τῆς Ῥώ-
μης διοικεῖν εἰώθασιν, ὁπηνίκα ἂν τὰ τῆς βασιλείας
5 μετέωρα ᾖ. συνελθόντες τοίνυν, περὶ τῶν πρα-
κτέων ἐσκέπτοντο, τοῦ Ἰουλιανοῦ ἔτι ὄντος ἐν τῇ
βασιλείῳ αὐλῇ, καὶ τὰς παρούσας ὀδυρομένου τύ-
χας, ἱκετεύοντός τε ἐξομόσασθαι τὴν ἀρχήν, καὶ
παραχωρῆσαι πάσης τῆς δυναστείας τῷ Σεβήρῳ.
6 Ὡς δὲ ἔμαθεν ἡ Σύγκλητος τὸν Ἰουλιανὸν οὕ-
τω κατεπτηχότα, τὴν δὲ δορυφόρον φρουρὰν διὰ
δέος τοῦ Σεβήρου αὐτὸν ἐγκαταλιποῦσαν, ψηφίζε-
ται τὸν μὲν ἀναιρεθῆναι, ἀποδειχθῆναι δὲ μόνον
αὐτοκράτορα τὸν Σεβῆρον· πρεσβείαν τε πρὸς αὐ-
τὸν ἐκπέμπουσιν ἀπὸ τῶν ἐν ἀρχαῖς ὄντων καὶ τῶν
ἐξοχωτάτων τῆς Βουλῆς, πάσας αὐτῷ προςφέρειν
7 τὰς σεβασμίους τιμάς. ἐπὶ δὲ τὸν Ἰουλιανὸν εἷς
τῶν χιλιαρχούντων ἀναπέμπεται, ἀποκτεῖναι ἄναν-
δρον καὶ ἄθλιον πρεσβύτην, ἰδίοις χρήμασιν ὠνη-
σάμενον οὕτω πονηρὸν τέλος. ὁ μὲν οὖν εὑρεθεὶς
ἔρημός τε καὶ ὑπὸ πάντων καταλειφθείς, αἰσχρῶς
ὀλοφυρόμενος ἐφονεύθη.

1 XIII. Ἐπεὶ δὲ τὰ παρὰ τῆς Συγκλήτου ἐδηλώθη
τῷ Σεβήρῳ, ἥ τε τοῦ Ἰουλιανοῦ ἀναίρεσις, ἤρθη
εἰς μειζόνων πραγμάτων ἐλπίδα· καὶ σοφίσματι
ἐχρήσατο, ὡς ἂν χειρώσαιτο καὶ αἰχμαλώτους
τοὺς τὸν Περτίνακα ἀνῃρηκότας λάβοι. ἐπιστέλ-
λει δὲ καὶ ἰδίᾳ μὲν λανθάνοντα γράμματα, τοῖς τε
χιλιάρχοις καὶ τοῖς ἑκατοντάρχοις ὑπισχνούμενος
μεγάλα, ὅπως πείσειαν τοὺς ἐν τῇ Ῥώμῃ στρατιώ-
τας, ὑπακούειν εὐπειθῶς τοῖς ὑπὸ τοῦ Σεβήρου κε-
2 λευομένοις. ἐκπέμπει δὲ καὶ δήλωσιν, δι' ἧς κε-
λεύει τὰ μὲν ὅπλα αὐτοὺς καταλιπεῖν ἐν τῷ στρα-
τοπέδῳ, πάντας δὲ ἐξελθεῖν εἰρηνικῷ σχήματι,
ὥσπερ εἰώθασι θύοντος ἢ ἑορτάζοντος βασιλέως προ-
πομπεύειν, ὀμόσαι τε εἰς τὸ Σεβήρου ὄνομα, καὶ
μετ' ἀγαθῶν ἐλπίδων ἐλθεῖν, ὡς μέλλοντας τὸν
3 Σεβῆρον δορυφορήσειν. πιστεύσαντες δὴ οἱ στρα-
τιῶται τοῖς ἐπεσταλμένοις, πεισθέντες τε ὑπὸ τῶν

χιλιαρχούντων, τὰ μὲν ὅπλα κατέλιπον πάντα,
αὐτοὶ δὲ ἐν μόναις ταῖς πομπικαῖς ἐσθῆσι δαφνηφο-
ροῦντες ἠπείγοντο. ἐπεὶ δὲ πρὸς τῷ στρατοπέδῳ
τοῦ Σεβήρου ἐγένοντο, ἠγγέλθησάν τε ἀφικόμενοι
εἰς τὸ πεδίον, οὕτως αὐτοὺς ὁ Σεβῆρος συνελθεῖν
κελεύει, ὡς δὴ δεξιωσόμενος καὶ προςαγορεύσων.
ὡς δὲ ἀνελθόντα αὐτὸν ἐπὶ τὸ βῆμα προςῆλθον, 4
ὁμοθυμαδὸν εὐφημήσοντες, πάντες ὑφ᾽ ἑνὶ συνθή-
ματι συλλαμβάνονται. προείρητο γὰρ τῷ τοῦ Σε-
βήρου στρατῷ, ὁπηνίκα ἂν στῶσιν εἰς τὸν βασιλέα
ἀποβλέποντες, μετέωρόν τε τὴν γνώμην ἔχοντες,
κυκλώσασθαι αὐτοὺς πολεμίῳ νόμῳ, καὶ τιτρώ-
σκειν μὲν ἢ παίειν μηδένα, συνέχειν δὲ καὶ φρου-
ρεῖν φράξαντας ἐν κύκλῳ τοῖς ὅπλοις, τάς τε δι-
βολίας καὶ τὰ δόρατα ἐπισείειν, ὡς δέει τοῦ τρω-
θῆναι, γυμνοί τε πρὸς ὡπλισμένους καὶ ὀλίγοι
πρὸς πολλοὺς, μὴ μάχοιντο. ἐπεὶ δὲ αὐτοὺς ὥς- 5
περ σαγηνεύσας ἐντὸς τῶν ὅπλων δορυαλώτους εἶ-
χε, μεγάλῃ βοῇ καὶ θυμοειδεῖ τῷ πνεύματι ἔλεξε
πρὸς αὐτοὺς τοιάδε·

„Ὅτι μὲν ὑμῶν καὶ σοφίᾳ κρείττους ἐσμὲν,
καὶ δυνάμει στρατοῦ, καὶ συμμάχων πλήθει, ἔργῳ
ὁρᾶτε. εἴληφθε γοῦν ῥᾳδίως, καὶ ἀκονιτί γε ἑαλώ-
κατε. ἔστι δ᾽ ἐν ἐμοὶ, ὅ τι ποτ᾽ ἂν ὑμᾶς δρᾶσαι
θελήσω, καὶ πρόκεισθε ἤδη θύματα τῆς ἡμετέρας
ἐξουσίας. εἰ μὲν οὖν ὑμεῖς πρὸς τὰ τετολμημένα 6
τιμωρίαν ζητεῖτε, οὐδ᾽ ἔστιν εὑρεῖν δίκην τὴν
ἐπιτεθησομένην ἀξίαν τῶν πεπραγμένων. σεμνὸν
πρεσβύτην καὶ βασιλέα χρηστὸν, ὃν ἐχρῆν σώζειν
καὶ δορυφορεῖν, ἐφονεύσατε· τὴν Ῥωμαίων ἀρχὴν,
ἔνδοξον οὖσαν ἀεὶ, ἣν καὶ οἱ πρόγονοι ἢ δι᾽ ἀνδρείας
ἐναρέτου ἐκτήσαντο, ἢ δι᾽ εὐγένειαν διεδέξαντο,
ταύτην αἰσχρῶς καὶ ἀτίμως, ὥσπερ τι τῶν ἰδιωτι-
κῶν κειμηλίων, ἐπ᾽ ἀργυρίῳ κατηλλάξασθε. ἀλλ᾽ 7
οὐδ᾽ αὐτὸν, ὃν οὕτως ἄρχοντα εἵλεσθε, φυλάξαι
ἢ σῶσαι ἠδυνήθητε, ἀνάνδρως δὲ προὐδώκατε.
ἐπὶ τηλικούτοις δὴ ἁμαρτήμασί τε καὶ τολμήμασι
μυρίων ἄξιοι θανάτων, ἢν τις ὁρίσαι θέλῃ τὴν

ἀξίαν τιμωρίαν, ἐστέ. ἀλλὰ τί μὲν χρὴ παθεῖν ὑμᾶς, ὁρᾶτε· ἐγὼ δὲ φείσομαι μὲν ὑμῶν, ὡς μὴ φονεῦσαι, οὔτε τὰς ὑμετέρας χεῖρας μιμήσομαι.
8 ἐπεὶ δὲ μήτε ὅσιον, μήτε δίκαιον, ἔτι βασιλέα ὑμᾶς δορυφορεῖν, καὶ ἐς τὸν ὅρκον ἀσεβήσαντας, καὶ ἐμφυλίῳ καὶ βασιλικῷ αἵματι τὰς δεξιὰς μιάναντας, τήν τε πίστιν καὶ τὸ ἐχέγγυον τῆς φρουρᾶς προδόντας· τὰς δὴ ψυχὰς καὶ τὰ σώματα δῶρον τῆς ἐμῆς φιλανθρωπίας ἕξετε· τοῖς τε περιειληφόσιν ὑμᾶς στρατιώταις κελεύω ἀποζῶσαί τε ὑμᾶς, καὶ ἀποδύσαντας εἴ τινας περίκεισθε ἐσθῆ-
9 τας στρατιωτικάς, γυμνοὺς ἀποπέμπειν· παραγγέλλω τε ὑμῖν ἀπιέναι ὡς πορρωτάτω τῆς Ῥώμης. ἀπειλῶ καὶ διόμνυμαι καὶ προαγορεύω, κολασθήσεσθαι κεφαλικῶς, εἴ τις ὑμῶν ἐντὸς ἑκατοστοῦ σημείου ἀπὸ τῆς Ῥώμης φανείη."

10 Ταῦτα κελεύσαντος αὐτοῦ, προςδραμόντες οἱ Ἰλλυρικοὶ στρατιῶται, τά τε ξιφίδια περιαιροῦσιν αὐτῶν ἃ παρῃώρηντο, τῷ ἀργυρίῳ καὶ τῷ χρυσῷ εἰς πομπὴν κεκοσμημένα· τάς τε ζώνας καὶ τὰς ἐσθῆτας, καὶ εἴ τι σύμβολον ἔφερον στρατιωτι-
11 κὸν, ἀφαρπάσαντες, γυμνοὺς ἐξέπεμπον. οἱ δὲ ὑπεῖκον, προδεδομένοι καὶ σοφίσματι ἑαλωκότες. τί γὰρ ἐνῆν δρᾶσαι γυμνοῖς πρὸς ὡπλισμένους καὶ ὀλίγοις πρὸς πολλούς; ἀπῄεσαν δὴ ὀδυρόμενοι· καὶ ἠγάπων μὲν τὴν δοθεῖσαν σωτηρίαν, μετεγίγνωσκον δὲ ἐπὶ τῷ ἀνόπλους ἐλθεῖν, αἰσχρῶς καὶ ἐφυ-
12 βρίστως ἑαλωκότες. ἐκέχρητο δὲ καὶ ἄλλῳ ὁ Σεβῆρος σοφίσματι. δεδιὼς γὰρ, μὴ ἄρα μετὰ τὸ ἀποζωσθῆναι, ἐν ἀπογνώσει γενόμενοι, ἀναδράμωσιν ἐπὶ τὸ στρατόπεδον, καὶ τὰ ὅπλα ἀναλάβωσι, προὔπεμψε λογάδας ἐπιλέκτους, ὅσους γενναιοτάτους ἠπίστατο, δι' ἑτέρων ὁδῶν καὶ ἀτραπῶν, ὡς λαθόντες τό τε στρατόπεδον ἐπειςέλθοιεν ἀνδρῶν κενὸν, καὶ τὰ ὅπλα καταλαβόντες, εἰ ἐπίοιεν, ἀποκλείσαιεν αὐτούς. δίκην μὲν δὴ ταύτην ἔδοσαν οἱ τοῦ Περτίνακος φονεῖς.

XIV. Ὁ δὲ Σεβῆρος σὺν παντὶ τῷ λοιπῷ 1
στρατῷ ὡπλισμένῳ εἰς τὴν Ῥώμην ἀφικνεῖται, ἔκ-
πληξίν τε καὶ δέος, ἅμα τῷ ὀφθῆναι, τοῖς Ῥωμαίοις
ἐνέβαλε, τοῖς οὕτω τετολμημένοις τε καὶ εὐτυχηθεῖ-
σιν ἔργοις. ὁ δὲ δῆμος καὶ ἡ Σύγκλητος δαφνηφο-
ροῦντες ὑπεδέχοντο, πρῶτον ἀνθρώπων καὶ βασι-
λέων ἀναιμωτί τε καὶ ἀκονιτὶ τοσαῦτα κατωρθωκότα.
πάντα γὰρ ἐν αὐτῷ ἐθαυμάζετο, μάλιστα δὲ τὸ 2
ἀγχίνουν τῆς γνώμης, τό τε τῶν πόνων γενναῖον,
καὶ τὸ εἰς τὰ τολμώμενα ἅμα τῷ θαῤῥαλέῳ εὔελ-
πι. ἐπεὶ τοίνυν ὅ τε δῆμος αὐτὸν ὑποδεξάμενος εὐ-
φήμησεν, ἥ τε Σύγκλητος ἐπὶ ταῖς τῆς πόλεως εἰσό-
δοις προσηγόρευσεν, ἀνελθὼν εἰς τὸ τοῦ Διὸς τέμε-
νος καὶ θύσας, ἔν τε τοῖς λοιποῖς ἱεροῖς νόμῳ βασι-
λικῷ καλλιερήσας, ἀνῆλθεν εἰς τὰ βασίλεια.
Τῇ δὲ ἐπιούσῃ κατελθὼν εἰς τὴν Σύγκλητον, 3
λόγους ἐπιεικεῖς πάνυ καὶ χρηστῶν ἐλπίδων μεστοὺς
ἐποιεῖτο πρὸς πάντας, καὶ κοινῇ καὶ ἰδίᾳ δεξιούμενος·
λέγων, ἥκειν μὲν ἔκδικος τοῦ Περτίνακος φόνου, τὴν
δ᾽ ἀρχὴν παρέξειν καὶ εἴσοδον ἀριστοκρατίας· μήτε
δὲ ἄκριτον τινὰ φονευθήσεσθαι ἢ δημευθήσεσθαι,
μήτε συκοφαντοῦντος ἀνέξεσθαι, ἀλλὰ βαθυτάτην εὐ-
δαιμονίαν τοῖς ἀρχομένοις παρέξειν, καὶ πάντα
πράξειν εἰς ζῆλον τῆς Μάρκου ἀρχῆς· ἕξειν δὲ τοῦ
Περτίνακος οὐ μόνον τοὔνομα, ἀλλὰ καὶ τὴν γνώ-
μην. τοιαῦτά τινα λέγων, ὑπηγάγετο τοὺς πλεί- 4
στους εἰς εὔνοιαν καὶ πίστιν ὧν ὑπισχνεῖτο. ἦσαν
δέ τινες τῶν πρεσβυτέρων, καὶ γνωριζόντων αὐτοῦ
τὸν τρόπον, οἳ προὔλεγον λανθάνοντες, ὅτι ἄρα
εἴη ἀνὴρ πολύτροπός τις, καὶ μετὰ τέχνης εἰδὼς
προσφέρεσθαι πράγμασιν, ὑποκρίνασθαί τε καὶ
προσποιήσασθαι πᾶν ὁτιοῦν ἱκανώτατος, ἔτι δ᾽
ἀνύσαι καὶ τὸ χρειῶδες καὶ τὸ λυσιτελὲς αὐτῷ.
ὅπερ ἔργῳ καὶ ὕστερον δέδεικται. διατρίψας οὖν 5
ὀλίγον χρόνον ὁ Σεβῆρος ἐν τῇ Ῥώμῃ, καὶ νομὰς
ἐπιδοὺς τῷ δήμῳ μεγαλοφρόνως, [θέας] τε ἐπι-
τελέσας, τοῖς τε στρατιώταις πολλὰ δωρησάμενος,
καὶ τοὺς ἀκμαιοτάτους ἐπιλεξάμενος ἐς τὸ δορυφό-

ρους εἶναι τῆς βασιλείας τόπῳ τῶν ἀπεζωσμένων,
6 ἐπὶ τὴν ἀνατολὴν ἠπείγετο. ἔτι γὰρ μέλλοντος καὶ ὑπτιάζοντος τοῦ Νίγρου, τῇ τε Ἀντιοχείᾳ ἐντρυφῶντος, ἐπιστῆναι μηδὲ προσδοκώμενος ἤθελεν, ὅπως ἀπαράσκευον αὐτὸν λάβοι. τούς τε οὖν στρατιώτας ἐκέλευσε παρασκευάζεσθαι πρὸς τὴν ἔξοδον· συνεκρότει τε καὶ πανταχόθεν στράτευμα, ἔκ τε τῶν κατὰ τὴν Ἰταλίαν πόλεων νεανίας μεταπεμπόμενος καὶ στρατεύων, εἴ τέ τι ἦν ἐν τῷ Ἰλλυρικῷ τοῦ στρατιωτικοῦ λείψανον, κατελθὸν ἐπὶ Θρᾴ-
7 κην, ἐκέλευεν αὐτῷ συντυχεῖν. ἐξήρτυε δὲ καὶ στόλον ναυτικόν, καὶ πάσας τὰς κατὰ Ἰταλίαν τριήρεις ὁπλιτῶν πληρώσας, ἐξέπεμπε. πολλή τε αὐτῷ καὶ παντοδαπὴ δύναμις μεγίστῳ τάχει συνεσκευάσθη. ᾔδει γὰρ οὐ μικρᾶς δυνάμεως δεόμενος πρὸς πᾶσαν τὴν ἀντικειμένην ἤπειρον Εὐρώπῃ, τὰ Νίγρου φρονοῦσαν. τὰ μὲν δὴ πρὸς τὸν πόλεμον γενναίως εὐτρέπιζεν.

1 XV. Ἅτε δὲ ἀνὴρ προμηθής τε καὶ νήφων, ὑπώπτευε τὴν ἐν Βρεττανίᾳ δύναμιν, πολλήν τε οὖσαν καὶ μεγίστην, ἀνδρῶν τε μαχιμωτάτων. ἦρχε δ' αὐτῆς πάσης Ἀλβῖνος, ἀνὴρ τὸ μὲν γένος τῶν ἐκ τῆς Συγκλήτου εὐπατριδῶν, ἐν πλούτῳ δὲ καὶ τρυφῇ
2 ἐκ πατέρων ἀνατραφείς. τοῦτον τοίνυν ἠθέλησεν ὁ Σεβῆρος σοφίσματι προλαβὼν οἰκειώσασθαι, μή πως ἄρα, τοιαῦτα ἔχων ἐναύσματα εἰς βασιλείας ἐπιθυμίαν, θαῤῥῶν [ἢ] πλούτῳ καὶ γένει, δυνάμει τε στρατοῦ, γνώσει τε τῇ παρὰ Ῥωμαίους, ἐπιθῆται τοῖς πράγμασι, καὶ τὴν Ῥώμην οὐ πολύ τι ἀφεστῶσαν, ἐκείνου κατὰ τὴν ἀνατολὴν ἀσχολη-
3 θέντος, ὑποποιήσηται. τιμῇ τοίνυν προσποιήτῳ δελεάζει τὸν ἄνθρωπον, καὶ ἄλλως μὲν ὄντα τὴν γνώμην χαῦνον καὶ ἁπλοϊκώτερον, τότε δὲ καὶ πολλὰ διὰ γραμμάτων ὀμόσαντι τῷ Σεβήρῳ πιστεύσαντα. Καίσαρα δὲ αὐτὸν ἀποδεικνύει, φθάσας αὐτοῦ τὴν ἐλπίδα καὶ τὴν ἐπιθυμίαν τῇ τῆς ἐξου-
4 σίας κοινωνίᾳ. ἐπιστέλλει δὲ αὐτῷ φιλικώτατα γράμματα δῆθεν, ἱκετεύων ἐπιδοῦναι αὐτὸν εἰς τὴν

τῆς ἀρχῆς φροντίδα· δεῖσθαι γὰρ ἀνδρὸς εὐγε-
νοῦς καὶ τοιούτου, τήν τε ἡλικίαν ἔτι ἀκμάζοντος,
αὐτὸν ὄντα πρεσβύτην, καὶ ὑπὸ νόσου ἀρθρίτιδος
ἐνοχλούμενον, τῶν τε παίδων αὐτῷ ὄντων πάνυ
νηπίων. οἷς πιστεύσας ὁ Ἀλβῖνος, τὴν τιμὴν ὑπε-
δέξατο ἀσπαστῶς· ἀγαπήσας ἄνευ μάχης καὶ κιν-
δύνου λαβεῖν ταῦτα, ὧν ὠρέγετο.

Ὁ δὲ Σεβῆρος καὶ πρὸς τὴν Σύγκλητον τὰ 5
αὐτὰ ἀνενεγκών, ὡς ἂν μᾶλλον αὐτὸν εἰς πίστιν
ὑπαγάγοιτο, νομίσματά τε αὐτοῦ κοπῆναι ἐπέτρε-
ψε, καὶ ἀνδριάντων ἀναστάσεσι ταῖς τε λοιπαῖς τι-
μαῖς τὴν δοθεῖσαν χάριν ἐπιστώσατο. ἐπεὶ δὲ αὐτῷ
τὰ πρὸς τὸν Ἀλβῖνον διὰ σοφίας ἀσφαλῶς εἶχεν,
οὐδέ τι δέος ἦν ἀπὸ Βρεττανίας, τό τε Ἰλλυρικὸν
στράτευμα σὺν αὐτῷ πᾶν εἶχε· διοικεῖσθαι νομίζων
πάντα λυσιτελῶς τῇ ἑαυτοῦ ἀρχῇ, ἐπὶ τὸν Νίγρον
ἠπείγετο.

Τῆς μὲν οὖν ὁδοιπορίας τοὺς σταθμούς, καὶ 6
τὰ καθ' ἑκάστην πόλιν αὐτῷ λεχθέντα, καὶ ση-
μεῖα θείᾳ προνοίᾳ δόξαντα πολλάκις φανῆναι, χω-
ρία τε ἕκαστα καὶ παρατάξεις, καὶ τὸν τῶν ἑκατέ-
ρωθεν πεσόντων ἀριθμὸν στρατιωτῶν ἐν ταῖς μά-
χαις, ἱστορίας τε πολλοὶ συγγραφεῖς καὶ ποιηταὶ
μέτρων πλατύτερον συνέταξαν, ὑπόθεσιν ποιούμε-
νοι πάσης τῆς πραγματείας τὸν Σεβήρου βίον. ἐμοὶ 7
δὲ σκοπὸς ὑπάρχει, ἐτῶν ἑβδομήκοντα πράξεις
πολλῶν βασιλέων συνάξαντι γράψαι, ἃς αὐτὸς
οἶδα. τὰ κορυφαιότατα τοίνυν, καὶ συντέλειαν
ἔχοντα τῶν κατὰ μέρος πεπραγμένων Σεβήρῳ, ἐν
τοῖς ἑξῆς διηγήσομαι· οὐδὲν οὔτε πρὸς χάριν εἰς
ὕψος ἐξαίρων, ὥσπερ ἐποίησαν οἱ κατ' ἐκεῖνον γρά-
ψαντες, οὔτε παραλείπων εἴ τι λόγου καὶ μνήμης
ἄξιον.

# ΗΡΩΔΙΑΝΟΥ

## ΙΣΤΟΡΙΩΝ

## ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

1 I. Τὸ μὲν δὴ Περτίνακος τέλος, καὶ ἡ Ἰουλιανοῦ κα-
θαίρεσις, ἥ τε Σεβήρου εἰς τὴν Ῥώμην ἄφιξις,
ἥ τε ἐπὶ Νίγρον ἔξοδος, ἐν τῷ πρὸ τούτου συγ-
γράμματι δεδήλωται. ὁ δὲ Νίγρος, ἐπεὶ ἠγγέλη
αὐτῷ, μηδέν τι τοιοῦτον προσδεχομένῳ, κατει-
ληφὼς μὲν τὴν Ῥώμην ὁ Σεβῆρος, ὑπό τε τῆς
Συγκλήτου αὐτοκράτωρ ἀναγορευθείς, ἄγων δὲ πάντα
ἐπ᾽ αὐτὸν τὸν Ἰλλυρικὸν στρατόν, πεζήν τε καὶ
ναυτικὴν δύναμιν ἄλλην, ἐν μεγίστῃ ταραχῇ ἦν· διέ-
πεμπέ τε κατὰ ἔθνη πρὸς τοὺς ἡγουμένους, τάς τε
εἰσόδους πάσας καὶ λιμένας φυλάττεσθαι κελεύων.
2 ἔπεμπε δὲ καὶ πρὸς τὸν βασιλέα Παρθυαίων τε καὶ
Ἀρμενίων καὶ Ἀτρηνῶν, συμμάχους αἰτῶν. ὁ μὲν
οὖν Ἀρμένιος ἀπεκρίνατο μηδετέρῳ συμμαχήσειν, ἀγα-
πητῶς δὲ τὰ ἑαυτοῦ φυλάξειν, ἤδη προσιόντος Σε-
βήρου. ὁ δὲ Παρθυαῖος ἐπιστελεῖν ἔφη τοῖς σατρά-
παις, δύναμιν ἀθροίζειν· οὕτω γὰρ εἴωθεν, ὁπη-
νίκα ἂν δεηθῇ στρατὸν συλλέγειν, τῷ μὴ ἔχειν μισθο-
3 φόρους καὶ συνεστὸς στρατιωτικόν. Ἀτρηνοὶ δὲ
ἦλθον αὐτῷ τοξόται σύμμαχοι, πέμψαντος Βαρση-
μίου, ὃς τῶν τόπων ἐβασίλευε. τὸ δὲ λοιπὸν στρα-
τιωτικὸν ἤθροιζεν ἐκ τῶν ἐκεῖ στρατοπέδων πᾶν.
πλεῖστοι δὲ καὶ τῶν δημοτῶν τῆς Ἀντιοχείας, μά-
λιστα ὑπὸ κουφότητος νεανίαι, καὶ τῆς περὶ τὸν
Νίγρον σπουδῆς, ἐπέδοσαν αὐτοὺς ἐς στρατείαν·
προπετῶς μᾶλλον ἢ ἐμπείρως τοῦτο ποιοῦντες.

Ἐκέλευε δὲ καὶ τοῦ Ταύρου ὄρους τὰ στενὰ 4
καὶ κρημνώδη διαφράττεσθαι γενναίοις τείχεσί τε
καὶ ἐρύμασι· πρόβλημα ὀχυρὸν νομίζων τῶν ἐν
τῇ ἀνατολῇ ὁδῶν τὸ δύςβατον τοῦ ὄρους. ὁ γὰρ
Ταῦρος, μεταξὺ ὢν Καππαδοκίας καὶ Κιλικίας,
διακρίνει τά τε τῇ ἄρκτῳ καὶ τὰ τῇ ἀνατολῇ ἔθνη
προςκείμενα. προὔπεμψέ τε καὶ στρατιὰν προκα- 5
ταληψομένην τὸ Βυζάντιον, πόλιν τῶν ἐπὶ Θρᾴκης
μεγίστην τότε καὶ εὐδαίμονα, πλήθει τε ἀνδρῶν
καὶ χρημάτων ἀκμάζουσαν. κειμένη γὰρ ἐπὶ τῷ
στενοτάτῳ τῆς Προποντίδος πορθμῷ, προςόδοις ταῖς
ἀπὸ θαλάττης, τελῶν τε καὶ ἁλείας, μεγάλως
ὠφελεῖτο· γῆν τε πολλὴν καὶ εὐδαίμονα κεκτημέ-
νη, ἐξ ἑκατέρων τῶν στοιχείων πλεῖστα ἐκέρδαινεν.
ὅθεν αὐτὴν οὖσαν δυνατωτάτην ὁ Νίγρος προκατα- 6
λαβεῖν ἠθέλησε, καὶ μάλιστα, ἐλπίζων δύνασθαι
κωλύειν τὴν ἀπὸ τῆς Εὐρώπης ἐς τὴν Ἀσίαν κατὰ
τὸν πορθμὸν διάβασιν. περιτετείχιστό τε γεν-
ναίῳ τε καὶ μεγίστῳ ἡ πόλις τείχει, πεποιημένῳ
μυλίτου λίθου, εἰς τετράγωνον εἰργασμένου, το-
σαύτῃ τε συναφείᾳ καὶ κολλήσει, ὡς μηδένα οἴε-
σθαι τὸ ἔργον σύνθετον, ἑνὸς δὲ λίθου πᾶν πεποιῆ-
σθαι. ἔτι γοῦν καὶ νῦν τὰ μένοντα αὐτοῦ ἐρείπια 7
καὶ λείψανα ἰδόντι, θαυμάζειν ἐστὶ καὶ τὴν τέχνην
τῶν τὴν ἀρχὴν κατασκευασάντων, καὶ τὴν ἀλκὴν
τῶν ὕστερον καθῃρηκότων. ὁ μὲν δὴ Νίγρος οὕτως
ἐξήρτυε τὰ καθ᾽ ἑαυτόν, προμηθέστατα καὶ ἀσφα-
λέστατα, ὡς ᾤετο.

II. Ὁ δὲ Σεβῆρος ὡς ἔνι μάλιστα σὺν τῇ στρα- 1
τιᾷ ἠπείγετο, μηδὲν ῥαθυμίᾳ μηδ᾽ ἀναπαύλῃ νέ-
μων. μαθὼν δὲ τὸ Βυζάντιον προκατειλημμένον,
καὶ εἰδὼς ὀχυρώτατα τετειχισμένον, ἐπὶ Κύζικον
τὸν στρατὸν ἐκέλευσε διαβαίνειν. ὁ δὲ τῆς Ἀσίας 2
ἡγούμενος, Αἰμιλιανός, ᾧ τὴν πρόνοιαν καὶ στρα-
τηγίαν ὁ Νίγρος ἐγκεχειρίκει, μαθὼν ἐπιόντα τὸν
τοῦ Σεβήρου στρατόν, τὴν ἐπὶ Κύζικον καὶ αὐτὸς
ἐτράπετο, ἄγων τε στρατιὰν πᾶσαν, ἣν αὐτὸς
συνείλεκτο, καὶ ἣν ὁ Νίγρος ἐπεπόμφει. ὡς δὲ

συνέβαλεν ἑκατέρωθεν τὰ στρατεύματα, μάχαι καρτεραὶ γίνονται κατ᾽ ἐκεῖνα τὰ χωρία, καὶ κρατεῖ τὸ Σεβήρου στράτευμα, φυγή τε πολλὴ καὶ τροπὴ καὶ φόνος πολὺς τῶν τοῦ Νίγρου στρατιωτῶν γίγνεται· ὡς τῶν μὲν ἀνατολικῶν εὐθέως θραῦσαι τὴν ἐλπίδα, τῶν δὲ Ἰλλυριῶν ἐπιῤῥῶσαι.

3 Φασὶ δέ τινες, προδοθέντα τὰ Νίγρου πράγματα ὑπὸ Αἰμιλιανοῦ, εὐθέως ἐν ἀρχῇ διαφθαρῆναι. διττὴν δὲ λέγουσι τῆς τοιαύτης προαιρέσεως τοῦ Αἰμιλιανοῦ τὴν αἰτίαν. οἱ μὲν γάρ, φθονοῦντα τῷ Νίγρῳ ἐπιβουλεῦσαι, ἀγανακτοῦντα ὅτι δὴ, διάδοχος αὐτοῦ γενόμενος τῆς ἐν Συρίᾳ ἀρχῆς, ἔμελλεν ἔσεσθαι κρείττων, ἅτε βασιλεὺς καὶ δεσπότης· οἱ δέ φασιν, αὐτὸν ἀναπεισθῆναι ὑπὸ τῶν παίδων, ἐπιστειλάντων καὶ δεηθέντων ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας· οὓς ἐν τῇ Ῥώμῃ εὑρὼν ὁ Σεβῆρος, συλλαβὼν εἶχεν ἐν φρουρᾷ. ἐχρήσατο γὰρ καὶ
4 τούτῳ σοφίσματι προμηθεστάτῳ. ἔθος ἦν τῷ Κομμόδῳ, κατέχειν τοὺς παῖδας τῶν εἰς τὰ ἔθνη πεμπομένων ἡγεμόνων, ὡς ἔχοι ὅμηρα τῆς τε εὐνοίας αὐτῶν καὶ πίστεως. εἰδὼς τοίνυν τοῦτο ὁ Σεβῆρος, ἅμα τῷ βασιλεὺς ἀναδειχθῆναι, καὶ τοῦ Ἰουλιανοῦ ἔτι περιόντος, πέμψας λάθρα, διὰ φροντίδος ἔσχε, τοὺς παῖδας αὐτῷ, τῆς Ῥώμης ἐκκλαπέντας,
5 μὴ εἶναι ἐν ἑτέρου ἐξουσίᾳ. αὐτὸς δ᾽, ἅμα τῷ τῆς Ῥώμης ἐπιβῆναι, συλλαβὼν πάντας τοὺς τῶν ἡγεμόνων, ἢ τῶν ὅ τι δὴ πραττόντων κατὰ τὴν ἀνατολὴν καὶ πᾶσαν τὴν Ἀσίαν, φρουρᾷ δοὺς, εἶχε σὺν αὐτῷ, ὅπως ἢ πόθῳ τῆς τῶν παίδων σωτηρίας οἱ ἡγεμόνες τὰ Νίγρου προδιδοῖεν, ἢ μένοντες ἐπὶ τῆς πρὸς ἐκεῖνον εὐνοίας, φθάσωσί τι κακὸν παθεῖν διὰ τῆς τῶν παίδων ἀναιρέσεως, ἢ δράσωσιν αὐτοί.

6 Γενομένης δὲ τῆς ἥττης κατὰ τὴν Κύζικον, ἔφευγον οἱ τοῦ Νίγρου, ὡς ἕκαστος ἐδύνατο σπεύδοντες, οἱ μὲν περὶ τὰς ὑπωρείας τῆς Ἀρμενίας, οἱ δὲ τὴν ἐπὶ Γαλατίας τε καὶ Ἀσίας, φθάσαι θέλοντες τὸν Ταῦρον ὑπερβῆναι, ὡς ἐντὸς τοῦ ἐρύματος γένοιντο. ὁ δὲ τοῦ Σεβήρου στρατὸς, πε-

ῥαιωθεὶς διὰ τῆς Κυζικηνῆς χώρας, διαβάς τε ἐπὶ
τὴν Βιθυνίαν ὅμορον οὖσαν, ἠπείγετο.

Ὡς δὲ διέδραμε φήμη τῆς Σεβήρου νίκης,
εὐθὺς ἐν πᾶσι τοῖς ἔθνεσιν ἐκείνοις στάσις καὶ διά-
φορος γνώμη ἐνέπεσε ταῖς πόλεσιν, οὐχ οὕτω τῇ
πρὸς τοὺς πολεμοῦντας βασιλέας ἀπεχθείᾳ τινὶ ἢ
εὐνοίᾳ, ὡς ζήλῳ καὶ ἔριδι τῇ πρὸς ἀλλήλας, φθό-
νῳ τε καὶ καθαιρέσει τῶν ὁμοφύλων. ἀρχαῖον τοῦτο 7
πάθος Ἑλλήνων, οἳ πρὸς ἀλλήλους στασιάζοντες
ἀεί, καὶ τοὺς ὑπερέχειν δοκοῦντας καθαιρεῖν θέλον-
τες, ἐτρύχωσαν τὴν Ἑλλάδα. ἀλλὰ τὰ μὲν ἐκείνων,
γηράσαντα, καὶ παρ' ἀλλήλοις συντριβέντα, Μακε-
δόσιν εὐάλωτα καὶ Ῥωμαίοις δοῦλα γεγένηται. τὸ
δὲ πάθος τοῦτο τοῦ ζήλου καὶ φθόνου μετῆλθεν
εἰς τὰς καθ' ἡμᾶς ἀκμαζούσας πόλεις.

Κατὰ μὲν οὖν τὴν Βιθυνίαν, εὐθὺς μετὰ τὰ 8
ἐν Κυζίκῳ Νικομηδεῖς μὲν Σεβήρῳ προςέθεντο, καὶ
πρέσβεις ἔπεμπον, τήν τε στρατιὰν ὑποδεχόμενοι,
καὶ πάντα παρέξειν ὑπισχνούμενοι. Νικαεῖς δέ,
τῷ πρὸς Νικομηδέας μίσει, τἀναντία ἐφρόνουν, καὶ
τὸν στρατὸν τοῦ Νίγρου ὑπεδέχοντο, εἴτε τινὲς
ἐκ τῶν φυγόντων κατέφευγον πρὸς αὐτούς, καὶ
τοὺς πεμφθέντας ὑπὸ τοῦ Νίγρου φρουρεῖν Βιθυ-
νίαν. ἑκατέρωθεν οὖν ἐκ τῶν πόλεων, ὡς ἀπὸ 9
στρατοπέδων, ὁρμώμενοι, συνέβαλλον ἀλλήλοις·
καὶ μάχης καρτερᾶς γενομένης, πολὺ περιεγένοντο
οἱ τοῦ Σεβήρου. φυγόντες δὲ οἱ τοῦ Νίγρου κἀ-
κεῖθεν, ὅσοι περιελείφθησαν, ἐπὶ τὰ στενὰ τοῦ
Ταύρου ἠπείγοντο, ἀποκλείσαντές τε τὸ ἔρυμα
ἐφύλαττον. ὁ δὲ Νίγρος φρουρὰν καταλιπὼν τοῦ
ἐρύματος, ὡς ᾤετο, αὐτάρκη, εἰς τὴν Ἀντιόχειαν
ἠπείγετο, στρατὸν ἀθροίζων καὶ χρήματα.

III. Ὁ δὲ τοῦ Σεβήρου στρατός, περαιωθεὶς 1
διά τε Βιθυνίας καὶ Γαλατίας, ἐμβαλὼν εἰς Καππα-
δοκίαν, προςκαθεζόμενος τὸ ἔρυμα ἐπολιόρκει, πρά-
γματά τε εἶχεν οὐ μικρά, δυςβάτου διὰ στενότητα
καὶ τραχύτητα οὔσης τῆς ὁδοῦ, βαλλόντων τε αὐ-
τοὺς ἄνωθεν λίθοις, καὶ γενναίως ἀπομαχομένων

τῶν ἐφεστώτων ταῖς ἐπάλξεσι τοῦ τείχους· ῥᾳ-
2 δίως δὲ ὀλίγοι πολλοὺς ἐκώλυον. τῆς γὰρ ὁδοῦ στε-
νῆς οὔσης, τὸ μὲν ἕτερον μέρος ὕψιστον ὄρος
σκέπει· ἐπὶ θάτερα δὲ κρημνὸς βαθὺς τοῖς ἐκ τῶν
ὀρῶν συῤῥέουσιν ὕδασι πόρος γίνεται· ὅπερ καὶ αὐτὸ
πάμπαν παρεπέφρακτο ὑπὸ τοῦ Νίγρου, τοῦ πανταχ-
χόθεν κωλύεσθαι ἕνεκα τὴν δίοδον τοῦ στρατοῦ.
3 Κατὰ μὲν δὴ Καππαδοκίαν ταῦτα ἐπράττετο.
ἐστασίασαν δὲ πρὸς ἀλλήλους τῷ αὐτῷ ζήλῳ καὶ
μίσει, Λαοδικεῖς μὲν κατὰ Συρίαν, Ἀντιοχέων μί-
σει, κατὰ δὲ Φοινίκην, Τύριοι, Βηρυτίων ἔχθει·
μαθόντες τε τὸν Νίγρον πεφευγότα, τὰς μὲν τι-
μὰς ἐκείνου καθελεῖν ἐπειράθησαν, τὸν δὲ Σεβῆ-
4 ρον εὐφήμησαν. ὡς δὲ γενόμενος ἐν Ἀντιοχείᾳ ταῦ-
τα ὁ Νίγρος ἐπύθετο, ἄλλως μὲν τὸ ἦθος πρότε-
ρον χρηστὸς ὤν, ἀγανακτήσας δὲ τότε εἰκότως ἐπὶ
τῇ ἀποστάσει αὐτῶν καὶ ὕβρει, ἐπιπέμπει ταῖς
πόλεσιν ἀμφοτέραις Μαυρουσίους τε ἀκοντιστὰς
οὓς εἶχε, καὶ μέρος τοξοτῶν· φονεύειν τε τὸν ἐν-
τυγχάνοντα κελεύσας, καὶ διαρπάζειν τὰ ἐν ταῖς
5 πόλεσιν, αὐτάς τε ἐμπιπράναι. οἱ δὲ Μαυρού-
σιοι, ὄντες φονικώτατοι, καὶ διὰ τὸ θανάτου καὶ
κινδύνων ῥᾳδίως καταφρονεῖν πάντα τολμῶντες,
μετ᾽ ἀπογνώσεως ἐπιπεσόντες τοῖς Λαοδικεῦσιν, οὐ
προσδοκῶσι, παντὶ τρόπῳ τόν τε δῆμον καὶ τὴν πό-
λιν ἐλυμήναντο· ἐκεῖθέν τε σπεύσαντες ἐπὶ τὴν
Τύρον, πᾶσάν τε ἐνέπρησαν, καὶ πολλὴν ἁρπαγὴν
καὶ φόνον εἰργάσαντο.
6 Τούτων κατὰ Συρίαν γινομένων, καὶ στρα-
τοῦ ὑπὸ Νίγρου ἀθροιζομένου, ὁ τοῦ Σεβήρου στρα-
τὸς προσκαθεζόμενος τὸ ἔρυμα ἐπολιόρκει. ἦσαν
δὲ οἱ στρατιῶται ἐν πολλῇ ἀθυμίᾳ καὶ ἀπογνώσει,
ὀχυροῦ τε ὄντος καὶ δυσμάχου καὶ πεφραγμένου
7 ὄρει τε καὶ κρημνῷ. ἤδη δὲ τῶν μὲν τοῦ Σεβήρου
ἀπειρηκότων, τῶν δὲ ἐναντίων ἀμέριμνον ἔχειν τὴν
φρουρὰν οἰομένων, νύκτωρ αἰφνιδίως ὄμβρων μεγί-
στων καταῤῥαγέντων, χιόνος τε πολλῆς, (δυσχεί-
μερος γὰρ πᾶσα ἡ Καππαδοκία, ἐξαιρέτως δὲ ὁ

Ταῦρος,) μέγας καὶ σφοδρὸς χειμάῤῥους καταῤῥα-
χθείς, ἐμποδισθέντος αὐτῷ τοῦ συνήθους δρόμου,
καὶ τοῦ ἐρύματος ἐπισχόντος τὸ ῥεῖθρον, πολὺς καὶ
βίαιος γενόμενος, τῆς τε φύσεως νικώσης τὴν τέ-
χνην, μὴ δυναμένου τοῦ τείχους ἀντέχειν τῷ ῥεύ-
ματι, διέστησε τῷ ὕδατι κατ᾽ ὀλίγον αὐτοῦ τὰς
ἁρμογάς, ὑποχωρούντων τῶν θεμελίων τῷ ῥείθρῳ,
ἅτε διὰ σπουδῆς καὶ οὐ μετ᾽ ἐπιμελείας κατασκευα-
σθέντων, πᾶν ὤφθη· τὸν δὲ τόπον ὁ χειμάῤ-
ῥους ἀνοίξας, ὡδοποίησεν. ὅπερ ἰδόντες οἱ ἐπὶ τοῦ 8
ἐρύματος φύλακες, φοβηθέντες μὴ κυκλωθεῖεν,
ἐκπεριελθόντων αὐτοὺς τῶν πολεμίων μετὰ τὴν
τοῦ χειμάῤῥου ἀπόῤῥοιαν, μηκέτι ὄντος τοῦ κω-
λύοντος· καταλιπόντες τὴν φρουρὰν, φεύγουσιν.
ὁ δὲ τοῦ Σεβήρου στρατὸς, ἡσθεὶς τῷ γενομένῳ,
τάς τε ψυχὰς ἐπιῤῥωσθείς, ὡς προνοίᾳ θείᾳ ὁδη-
γούμενος, συνεὶς δὲ ἀποδεδρακότας τοὺς φύλακας,
εὐμαρῶς τε καὶ ἀκωλύτως διαβὰς τὸν Ταῦρον, ἐπὶ
Κιλικίαν ἠπείγετο.

IV. Ὁ δὲ Νίγρος, μαθὼν τὰ συμβάντα, πολ- 1
λὴν στρατιὰν ἀθροίσας, πλὴν ἄπειρον μάχης καὶ
πόνων, μετὰ σπουδῆς τὴν πορείαν ἐποιεῖτο. πολὺ
γάρ τι πλῆθος, καὶ σχεδὸν πᾶσα ἡ νεολαία τῶν
Ἀντιοχέων εἰς στρατείαν καὶ τὸν ὑπὲρ αὐτοῦ κίν-
δυνον ἐπέδωκεν αὐτήν. τὸ μὲν οὖν πρόθυμον τοῦ
στρατοῦ ὑπῆρχεν αὐτῷ· τοῦ δὲ ἐμπείρου καὶ γεν-
ναίου πολὺ τῶν Ἰλλυριῶν ἀπέλειπον. συνέρχεται 2
δὴ ἑκατέρωθεν ὁ στρατὸς εἰς τὸ κατὰ τὸν Ἰσσικὸν
καλούμενον κόλπον πεδίον πλατύτατόν τε καὶ ἐπι-
μηκέστατον· ᾧ περίκειται μὲν λόφος εἰς θεάτρου
σχῆμα, αἰγιαλὸς δὲ ἐπὶ θαλάσσης μέγιστος ἐκτεί-
νεται, ὥσπερ τῆς φύσεως ἐργασαμένης στάδιον μά-
χης. ἐκεῖ φασὶ καὶ Δαρεῖον, Ἀλεξάνδρῳ τὴν ὑστά- 3
την καὶ μεγίστην μάχην συμβαλόντα, ἡττηθῆναί τε
καὶ ἁλῶναι ὑπὸ τῶν ἀρκτῴων ἀνδρῶν, καὶ τότε τοὺς
ἀνατολικοὺς νενικηκότων. μένει δὲ ἔτι νῦν τρόπαιον
καὶ δεῖγμα τῆς νίκης ἐκείνης, πόλις ἐπὶ τοῦ λόφου,

Ἀλεξάνδρεια καλουμένη, ἄγαλμά τε χαλκοῦν, οὗ τὴν προσηγορίαν ὁ τόπος φέρει.

4 Συνέβη δὲ καὶ τῶν στρατοπέδων τοῦ Σεβήρου τε καὶ Νίγρου μὴ τὴν σύνοδον μόνον κατ᾽ ἐκεῖνο γενέσθαι τὸ χωρίον, ἀλλὰ καὶ τὴν τύχην ὁμοίαν τῆς τύχης. ἀντιστρατοπεδευσάμενοι γὰρ ἑκατέρωθεν περὶ ἑσπέραν, πάσης τῆς νυκτὸς ἐν φροντίσιν ἑκάτεροι καὶ δέει διαγρηγορήσαντες, ἅμα ἡλίῳ ἀνίσχοντι ἐπ᾽ ἀλλήλους ἠπείγοντο, παρορμώντων ἑκατέρωθεν τῶν στρατηγῶν. προθυμίᾳ δὴ πάσῃ ἐνέπιπτον, ὡς ὑπὲρ λοιπῆς καὶ τελευταίας ἐκείνης μάχης, κᾀκεῖ τῆς τύχης διακρινούσης τὸν βασιλέα.
5 ἐπὶ πολὺ δὲ αὐτῶν διαγωνισαμένων, πολλοῦ τε ἐργασθέντος φόνου, ὡς καὶ τὰ ῥεῖθρα τῶν διὰ τοῦ πεδίου ποταμῶν ῥεόντων αἵματος πλεῖον ἢ ὕδατος κατάγειν εἰς θάλασσαν, τροπὴ τῶν ἀνατολικῶν γίνεται. ἐκβιασάμενοι δὲ αὐτοὺς οἱ Ἰλλυριοὶ, τοὺς μὲν εἰς τὴν παρακειμένην θάλασσαν τιτρώσκοντες ἐξωθοῦσι, τοὺς δὲ φεύγοντας ἐπὶ τοὺς λόφους διώκοντες, αὐτούς τε φονεύουσι, καὶ πολύ τι πλῆθος ἄλλων ἀνθρώπων, ὅπερ ἔκ τε τῶν περικειμένων πόλεων καὶ ἀγρῶν ἤθροιστο, ὡς ἀπ᾽ ἀσφαλοῦς τοῦ τόπου τὰ γινόμενα θεάσοιντο.

6 Ὁ δὲ Νίγρος ἵππῳ γενναίῳ ἐποχούμενος, φεύγει μετ᾽ ὀλίγων, εἴς τε τὴν Ἀντιόχειαν ἀφικνεῖται. καταλαβὼν δὲ φεύγοντα τὸν λοιπὸν δῆμον, εἴ τις καταλέλειπτο, οἰμωγήν τε καὶ πένθος ἐν τῇ πόλει, παῖδάς τε καὶ ἀδελφοὺς θρηνούντων, γενόμενος ἐν ἀπογνώσει, καὶ αὐτὸς ἐκ τῆς Ἀντιοχείας ἀποδιδράσκει· καὶ ἔν τινι προαστείῳ κρυπτόμενος, εὑρεθείς τε ὑπὸ τῶν διωκόντων ἱππέων καὶ συλληφθεὶς,
7 τὴν κεφαλὴν ἀπετμήθη. τέλει μὲν δὴ τούτῳ ὁ Νίγρος ἐχρήσατο, μελλήσεως καὶ βραδυτῆτος δοὺς δίκας· τὰ ἄλλα, ὥς φασι, γενόμενος μὴ φαῦλος ἄνθρωπος, μήτε ἄρχων, μήτε ἰδιώτης.

Ὁ δὲ Σεβῆρος, καθελὼν τὸν Νίγρον, τοὺς μὲν φίλους αὐτοῦ, καὶ εἴ τινες οὐ μόνον ἐκ προαιρέσεως, ἀλλὰ δι᾽ ἀνάγκης προσέθεντο αὐτῷ, παν-

τας ἀφειδῶς ἐκόλασε· τοὺς δὲ στρατιώτας, ὅσοι
διαδεδράκεσαν, πυνθανόμενος περαιουμένους τὸν
Τίγριδα ποταμὸν, διά τε τὸ ἐκ Σεβήρου δέος ἀπι-
όντας πρὸς τοὺς Βαρβάρους, πάντας ἤγαγε, δοὺς
ἀμνηστίαν. πολὺ γὰρ πλῆθος αὐτῶν ἀνεχώρησεν 8
εἰς τὴν ἀλλοδαπήν. ὅπερ καὶ μάλιστα αἴτιον ἐγέ-
νετο, μαχιμώτερα ὕστερον γενέσθαι πρὸς τὴν συ-
στάδην μάχην Ῥωμαίων τὰ τῶν ἐπέκεινα Βαρβά-
ρων. πρότερον μὲν γὰρ τοξεύειν μόνον ἵπποις ἐπο-
χούμενοι ᾔδεσαν, μήτε πανοπλίᾳ φράσσοντες αὑτοὺς,
μήτε τῇ διὰ δοράτων καὶ ξιφῶν θαῤῥοῦντες μάχῃ,
κούφαις δὲ καὶ παρῃωρημέναις [μόναις] ἐσθῆσι
κοσμούμενοι· τὰ πλεῖστα γοῦν φεύγοντες, εἰς τοὐ-
πίσω τε τοξεύοντες ἐμάχοντο. τῶν δὲ φυγάδων 9
στρατιωτῶν, πολλῶν τε ἐν αὐτοῖς τεχνιτῶν, παρ'
αὐτοῖς γενομένων, καὶ τὸν ἐκεῖ βίον ἑλομένων, οὐ
μόνον χρῆσθαι, ἀλλὰ καὶ ἐργάζεσθαι ὅπλα ἐδι-
δάχθησαν.

V. Διοικήσας δὲ ὁ Σεβῆρος τὰ ἐπὶ τῆς ἀνα- 1
τολῆς, ὡς ᾤετο, ἄριστα καὶ ἑαυτῷ λυσιτελέστατα,
ἠθέλησεν εὐθέως ὁρμῆσαι ἐπὶ τὸν Ἀτρηνῶν βασι-
λέα, εἴς τε τὴν Παρθυαίων γῆν διαβῆναι· ἐπεκά-
λει γὰρ ἀμφοτέροις φιλίαν Νίγρου. ἀλλὰ ταῦτα μὲν
εἰς ὕστερον ἀνέθετο· πρῶτον δὲ πᾶσαν τὴν ἀρχὴν
Ῥωμαίων εἰς ἑαυτὸν καὶ τοὺς παῖδας μεταγαγεῖν
καὶ βεβαιῶσαι ἠθέλησε. καθῃρημένου γὰρ τοῦ Νίγρου, 2
ὀχληρὸς καὶ περιττὸς αὐτῷ ὁ Ἀλβῖνος ἐνομίζετο·
ἔτι τε καὶ ἤκουεν αὐτὸν βασιλικώτερον ἐντρυφῶντα
τῷ τοῦ Καίσαρος ὀνόματι, πολλούς τε μάλιστα τοὺς
ἐξέχοντας τῆς συγκλήτου Βουλῆς ἰδίᾳ καὶ κρύβδην
ἐπιστέλλοντας αὐτῷ, εἴς τε τὴν Ῥώμην ἐλθεῖν πεί-
θοντας, ἀπόντος καὶ ἀσχολουμένου τοῦ Σεβήρου.
ᾑροῦντο γὰρ οἱ εὐπατρίδαι ἐκεῖνον μᾶλλον ἄρχοντα,
ἅτε ἐκ προγόνων εὖ γεγονότα, καὶ χρηστὸν τὸ ἦθος
εἶναι λεγόμενον. ἅπερ πυνθανόμενος ὁ Σεβῆρος, 3
φανερὰν μὲν εὐθὺς πρὸς αὐτὸν ἔχθραν ἄρασθαι
καὶ πόλεμον ἐγεῖραι πρὸς ἄνδρα, μηδεμίαν εὔλογον
παρεσχημένον αἰτίαν, παρῃτήσατο· ἔδοξε δὲ αὐτῷ,

ἀπόπειραν ποιήσασθαι, εἰ δύναιτο ἀποσκευάσασθαι
4 λαθὼν καὶ ἐξαπατήσας αὐτόν. μεταπεμψάμενος οὖν
τοὺς πιστοτάτους τῶν εἰωθότων τὰ βασιλικὰ γράμ-
ματα διακομίζειν, δίδωσιν αὐτοῖς ἐντολὰς ἀποῤῥή-
των, εἰ γένοιντο παρ᾽ αὐτῷ, τὰ μὲν γράμματα δη-
μοσίᾳ ἀποδοῦναι, ἀξιῶσαι δὲ αὐτὸν, ἰδιαίτερον
ἀποστάντα ἐπακοῦσαι ἀποῤῥήτων ἐντολῶν· πεισθέν-
τι δὲ, δορυφόρων ἐρήμῳ ἐπιπεσεῖν αἰφνιδίως καὶ
5 φονεῦσαι. ἔδωκε δὲ αὐτοῖς καὶ δηλητήρια φάρμακα,
ὅπως τινὰς πεῖσαι δυνηθεῖεν ἢ τῶν ὀψοποιῶν, ἢ
τῶν πρὸς ταῖς κύλιξι, λαθεῖν καὶ ἐπιδοῦναι αὐτῷ·
ὑποπτευόντων τῶν περὶ αὐτὸν φίλων, καὶ συμβου-
λευόντων αὐτῷ, φυλάττεσθαι ἄνδρα ἀπατεῶνα,
6 σοφόν τε πρὸς ἐπιβουλήν. διαβεβλήκεισαν γὰρ αὐ-
τοῦ τὸ ἦθος αἱ πρὸς τοὺς ἡγεμόνας τοῦ Νίγρου
πράξεις. πείσας γὰρ αὐτοὺς διὰ τῶν παίδων, ὡς
προείρηται, προδοῦναι τὰ τοῦ Νίγρου πράγματα,
μετὰ τὸ ἀποχρήσασθαι αὐτῶν τῇ ὑπηρεσίᾳ, καὶ κα-
τορθῶσαι πάντα ἃ ἐβούλετο, ἀνεῖλεν αὐτούς τε καὶ
παῖδας. τὸ οὖν ὕπουλον αὐτοῦ ἦθος μάλιστα ἐκ
7 τῶν ἔργων ἐδηλοῦτο. ταύτῃ ὁ Ἀλβῖνος καὶ φρου-
ρᾷ μείζονι ἔφραττεν ἑαυτόν. οὔτε γάρ τις αὐτῷ
τῶν ἀπὸ τοῦ Σεβήρου ἀφικνουμένων ἄλλως προσήει,
εἰ μὴ πρότερον ἀποθέμενος, ὅπερ περιέκειτο ξίφος
στρατιωτικὸν, ἐρευνηθῆναι μή τι φέροι ὑπὸ κόλπον.
Ὡς δ᾽ οὖν ἀφίκοντο οἱ τοῦ Σεβήρου ἀγγελια-
φόροι, τά τε γράμματα δημοσίᾳ ἀποδόντες, ἠξί-
ουν αὐτὸν, ἀποστάντα ἐπακοῦσαι τινῶν ἀποῤῥή-
των· ὑποπτεύσας ὁ Ἀλβῖνος, συλληφθῆναι κελεύει
αὐτοὺς, ἰδίᾳ τε βασανίσας, πᾶσαν μανθάνει τὴν
ἐπιβουλήν. καὶ τοὺς μὲν κολάζει, αὐτὸς δὲ ἤδη ὡς
πρὸς ὁμολογούμενον ἐχθρὸν παρεσκευάζετο.
1 VI. Γνοὺς δὲ ταῦτα ὁ Σεβῆρος, καὶ πάντα
μὲν ἐκθύμως πράττων, ὀργῆς δὲ ἥττων ὢν φύσει,
οὐκέτι τὴν ἔχθραν ἔκρυπτεν· ἀλλὰ συγκαλέσας πᾶν
τὸ στρατιωτικὸν, ἔλεξε πρὸς αὐτοὺς τοιάδε·
„Μήτε κουφότητά τις ἡμετέραν οἴαν ἐπὶ τοῖς
πεπραγμένοις ἡμῖν ἐγκαλείτω, μήτ᾽ ἄπιστον καὶ

ἀγνώμονα πρὸς τὸν νομισθέντα φίλον ἡγείσθω. τὰ 2
μὲν γὰρ παρ' ἡμῶν πάντα ὑπῆρξεν αὐτῷ, βεβαίας
βασιλείας κοινωνία, πράγματος οὗ μόλις τις καὶ
ἀδελφοῖς γνησίοις μεταδίδωσιν· ὃ δὲ ἐμοὶ μόνῳ ὑμεῖς
ἐχειροτονήσατε, τοῦτ' ἐγὼ πρὸς ἐκεῖνον ἐνειμάμην.
μεγάλων τέ μοι κατατεθεισῶν εἰς αὐτὸν εὐεργεσιῶν,
ἀχαρίστους τὰς ἀμοιβὰς Ἀλβῖνος ἀποδίδωσιν. ὅπλα 3
καὶ στρατὸν ἐφ' ἡμᾶς συσκευάζεται, καταφρονήσας
μὲν τῆς ὑμετέρας ἀνδρείας, ἀμελήσας δὲ τῆς πρὸς
με πίστεως, ἀπλήστῳ τε ἐπιθυμίᾳ βουλόμενος λα-
βεῖν μετὰ κινδύνων, οὗ τὸ μέρος εἶχεν ἄνευ πολέ-
μου καὶ μάχης· οὔτε θεοὺς αἰδεσθείς, οὓς πολλά-
κις ὤμοσεν, οὔτε τῶν ὑμετέρων καμάτων φεισάμε-
νος, οὓς μετὰ τοσαύτης δόξης τε καὶ ἀρετῆς ὑπὲρ
ἡμῶν ἐκάμετε. ἐν γὰρ οἷς κατωρθώσατε, κἀκεῖνος 4
τὸ μέρος ἐκαρποῦτο· ἔσχε δ' ἂν τι καὶ μεῖζον, εἰ
καὶ τὸ πιστὸν ἐτήρει, τῆς ἀμφοτέροις ἡμῖν παρ'
ὑμῶν μεμερισμένης τιμῆς. ὥσπερ δὲ ἄδικον τὸ
ἄρχειν ἔργων πονηρῶν, οὕτως ἄνανδρον τὸ μὴ
ἀμύνεσθαι, προαδικούμενον. καὶ Νίγρῳ μὲν πολε-
μοῦντες, οὐχ οὕτως εὐλόγους εἴχομεν αἰτίας ἔχθρας,
ὡς ἀναγκαίας. οὐ γὰρ παρ' ἡμῖν προϋπάρχουσαν
ἀρχὴν ὑφαρπάζων μεμίσητο· ἐν μέσῳ δὲ ἐῤῥιμμένην
καὶ ἀμφήριστον οὖσαν, ἑκάτερος ἡμῶν ἐξ ἰσοτίμου
φιλοτιμίας εἰς αὐτὸν ἀνθεῖλκεν. Ἀλβῖνος δέ, σπον- 5
δῶν καὶ ὅρκων καταφρονήσας, καὶ τούτου παρ' ἐμοῦ
τυχών, οὗ μόνῳ τις υἱῷ γνησίῳ μεταδίδωσιν, ἐχθρὸς
μὲν ἀντὶ φίλου, πολέμιος δὲ ἀντὶ οἰκείου γενέσθαι
προήρηται. ὥσπερ δὲ αὐτὸν εὐεργετοῦντες πρότερον
τιμῇ καὶ δόξῃ ἐτιμήσαμεν καὶ ἐκοσμήσαμεν, οὕτω
καὶ νῦν αὐτοῦ τὸ ἄπιστον καὶ ἄνανδρον τοῖς ὅπλοις
ἐλέγξωμεν. οὐδὲ γὰρ ὑπομενεῖ ὁ ἐκείνου στρατός, 6
ὀλίγος ὢν καὶ νησιώτης, τὴν ὑμετέραν δύναμιν. οἳ
γὰρ μόνοι καὶ καθ' αὐτοὺς προθυμίᾳ καὶ ἀνδρείᾳ
τοσαύταις μάχαις ἐνικήσατε, καὶ πᾶσαν ἀνατολὴν
ὑπετάξατε, πῶς οὐχὶ νῦν, καὶ προσελθούσης ὑμῖν
τοσαύτης συμμάχου δυνάμεως, σχεδόν τε παντὸς
τοῦ Ῥωμαίων στρατοῦ ἐνταῦθα ὄντος, ῥᾷστα κρα-

τήσετε ὀλίγων τε ὄντων, καὶ μηδὲ ὑπὸ γενναίῳ καὶ
7 νήφοντι ἀνδρὶ στρατηγουμένων; τίς γὰρ αὐτοῦ τὸ
ἁβροδίαιτον οὐκ οἶδεν, ὡς χοροῖς αὐτοῦ μᾶλλον ἁρ-
μόζειν τὸν βίον ἢ φάλαγξιν; ἴωμεν οὖν, τῇ συνή-
θει χρώμενοι προθυμίᾳ τε καὶ ἀνδρείᾳ, γενναίως
ἐπ' αὐτόν· θεούς τε ἔχοντες βοηθούς, εἰς οὓς
ἐπιορκήσας ἠσέβησε, τρόπαιά τε ἃ πολλάκις ἠγεί-
ραμεν, ὧν ἐκεῖνος κατεφρόνησε."
8 Τοιαῦτά τινα εἰπόντος τοῦ Σεβήρου, ὁ στρα-
τὸς ἅπας τὸν μὲν Ἀλβῖνον πολέμιον ἀνηγόρευσεν·
εὐφημήσαντες δὲ τὸν Σεβῆρον, πᾶσάν τε προθυ-
μίαν διὰ τῆς βοῆς ὑποσχόμενοι, ἔτι καὶ μᾶλλον
παρώρμησαν αὐτὸν, ἀγαθάς τε ὑπέφηναν τὰς ἐλ-
πίδας. ὁ δὲ, ἐπιδοὺς αὐτοῖς μεγαλοφρόνως δωρεάς,
9 τῆς ἐπὶ τὸν Ἀλβῖνον ὁδοῦ εἴχετο. ἔπεμψε δὲ καὶ
τοὺς τὸ Βυζάντιον πολιορκήσοντας· ἔμενε γὰρ ἔτι
κεκλεισμένον, τῶν στρατηγῶν τοῦ Νίγρου ἐκεῖσε
καταφυγόντων. ὅπερ ἑάλω ὕστερον λιμῷ· πᾶσά τε
ἡ πόλις κατεσκάφη· καὶ θεάτρων τε καὶ λουτρῶν,
παντός τε κόσμου καὶ τιμῆς ἀφαιρεθὲν, τὸ Βυζάν-
τιον κώμῃ δουλεύειν Περινθίοις δῶρον ἐδόθη, ὥςπερ
καὶ Ἀντιόχεια Λαοδικεῦσιν. ἔπεμψε δὲ καὶ χρήματα
πλεῖστα εἰς ἀνοικισμὸν τῶν πόλεων, ἃς ἦν λυμηνά-
10 μενος ὁ Νίγρου στρατός. αὐτὸς δὲ τῆς ὁδοῦ εἴχετο,
μηδεμίαν ἀνοχὴν ἀναπαύλης διδοὺς μήτε ἑορταῖς,
μήτε καμάτοις, κρύους καὶ θάλπους ὁμοίως κα-
ταφρονῶν. πολλάκις γοῦν διὰ τῶν δυςχειμέρων καὶ
ὑψηλοτάτων ὀρῶν τὴν ὁδοιπορίαν ποιούμενος, ὑπὸ
νιφετοῖς καὶ χιόσιν ἀκαλύπτῳ τῇ κεφαλῇ ὡδοιπόρει·
προθυμίας καὶ ἀνδρείας τὸ ἐνδόσιμον τοῖς στρατιώ-
ταις ἔργῳ διδούς, ὡς μὴ μόνον αὐτοὺς φόβῳ καὶ
νόμῳ ἀντέχειν πρὸς τοὺς καμάτους, ἀλλὰ μιμήσει
καὶ ζήλῳ τοῦ βασιλέως.
Ἔπεμψε δὲ καὶ στρατὸν δυνάμεως, τὸν τὰ
στενὰ τῶν Ἄλπεων καταληψόμενον, καὶ φρουρή-
σοντα τῆς Ἰταλίας τὰς εἰςβολάς.
1 VII. Ὡς δὲ ἀπηγγέλη τῷ Ἀλβίνῳ μὴ μέλλων
ὁ Σεβῆρος, ἀλλ' ἤδη παρεσόμενος, ὑπτιάζοντι καὶ

τρυφῶντι μεγάλην ταραχὴν ἐνέβαλλε. περαιωθεὶς δὲ ἀπὸ τῆς Βρεττανίας ἐς τὴν ἀντικειμένην Γαλλίαν, ἐστρατοπέδευσεν. ἔπεμψέ τε εἰς πάντα τὰ γειτνιῶντα ἔθνη, τοῖς τε ἡγουμένοις ἐπέστειλε, χρήματά τε πέμπειν καὶ τροφὰς τῷ στρατῷ. καὶ οἱ μὲν πεισθέντες, ἔπεμψαν ὀλεθρίως· ὕστερον γὰρ ἐκολάσθησαν· ὅσοι δὲ οὐκ ἐπίστευσαν, εὐτυχῶς μᾶλλον γνόντες ἢ εὐβούλως, ἐσώθησαν. ἡ γὰρ ἀπόβασις καὶ ἡ τύχη τοῦ πολέμου τὰς ἑκατέρων γνώμας ἔκρινεν.

Ἀφικομένης δὲ τῆς τοῦ Σεβήρου δυνάμεως εἰς 2
τὴν Γαλλίαν, γεγόνασι μέν τινες ἀκροβολισμοὶ καθ' ἕτερα χωρία· ἡ δὲ τελευταία περὶ Λουγδοῦνον, μεγάλην πόλιν καὶ εὐδαίμονα, ἐν ᾗ κατακλείσας ἑαυτὸν ὁ Ἀλβῖνος ἔμενε, τὸν δὲ στρατὸν εἰς τὴν μάχην ἐξέπεμψε. γενομένης δὲ συμβολῆς καρτερᾶς, ἐπὶ πλεῖστον μὲν ἰσόῤῥοπος ἔμενεν ἑκατέροις τῆς νίκης ἡ τύχη. καὶ γὰρ οἱ Βρεττανοὶ ἀνδρείᾳ τε καὶ θυμῷ φονικῷ οὐδὲν τῶν Ἰλλυριῶν ἀπολείπονται. γενναίων οὖν στρατῶν μαχομένων, οὐδετέρων ῥᾳδία ἦν ἡ
τροπή. ὥς δέ τινες τῶν τότε ἱστόρησαν, οὐ πρὸς 3
χάριν, ἀλλὰ πρὸς ἀλήθειαν λέγοντες, πολύ τι ὑπερέσχεν ἡ φάλαγξ τοῦ Ἀλβίνου στρατοῦ, καθ' ὃ μέρος ἐτέτακτο Σεβῆρος καὶ ὁ σὺν αὐτῷ στρατός· ὥς φυγεῖν τε αὐτὸν καὶ τοῦ ἵππου ἐκπεσεῖν, ἀποῤῥίψαντα δὲ τὴν χλαμύδα τὴν βασιλικὴν λαθεῖν. ἤδη δὲ διωκόντων καὶ παιανιζόντων τῶν Βρεττανῶν, ὡς δὴ νενικηκότων, ἐπιφανῆναι Λαῖτον, στρατηγὸν ὄντα Σεβήρου, σὺν τῷ στρατῷ οὗ ἦρχεν, ἀκμῆτί
τε ὄντι καὶ ἔξω μάχης γεγονότι. διαβάλλουσι δὲ αὐ- 4
τὸν ὡς καραδοκήσαντα τὴν ἀπόβασιν τῆς μάχης, καὶ ἑκόντα βραδύναντα, τὸν δὲ ὑφ' ἑαυτῷ στρατὸν ἀκμῆτα τηρήσαντα, τὴν ἀρχὴν ἑαυτῷ μνώμενον, τότε ἐπιφανῆναι, ὅτε ἔμαθε τὸν Σεβῆρον πεπτωκότα. πιστοῦται δὲ τὴν διαβολὴν ταύτην ἡ ἀπόβασις. ὕστερον γὰρ ὁ Σεβῆρος, μετὰ τὸ πάντα κατορθῶσαι καὶ εἶναι ἐν ἀμερίμνῳ βίῳ, τοὺς μὲν ἄλλους πάντας αὐτοῦ στρατηγοὺς μεγάλως ἠμείψατο, τὸν δὲ Λαῖτον μόνον, ὡς εἰκὸς, μνησικακήσας διεχρή-

5 σατο. ἀλλὰ ταῦτα μὲν ὕστερον ἐγένετο· τότε δ'
οὖν, ὡς προείρηται, τοῦ Λαίτου ἐπιφανέντος σὺν
νεαρῷ τῷ στρατῷ, οἱ μὲν τοῦ Σεβήρου ἐπεῤῥώσθη-
σαν, τὸν δὲ Σεβῆρον τοῦ ἵππου ἐπεβίβασαν, καὶ
6 τὴν χλαμύδα περιέθεσαν. οἱ δὲ τοῦ Ἀλβίνου, οἰό-
μενοι ἤδη νενικηκέναι, καὶ ἀτακτότεροι εὑρεθέντες,
αἰφνιδίως αὐτοῖς ἐπιπεσούσης γενναίας καὶ οὐ προη-
γωνισμένης δυνάμεως, ἐπ' ὀλίγον ἀντισχόντες, εἶξαν·
τροπῆς τε καρτερᾶς γενομένης, ἐδίωξαν αὐτοὺς φο-
νεύοντες οἱ Σεβήρου, μέχρις οὗ ἐς τὴν πόλιν ἐσέ-
βαλον. τὸ μὲν οὖν πλῆθος τῶν ἑκατέρωθεν ἀνῃ-
ρημένων ἢ ἁλόντων, ὡς ἕκαστος ἐβουλήθη τῶν τό-
τε συγγραψάντων, ἱστόρησεν.
7 Οἱ δὲ τοῦ Σεβήρου, τήν τε πόλιν Λουγδοῦνον
διαρπάσαντες καὶ ἐμπρήσαντες, τόν τε Ἀλβῖνον συλ-
λαβόντες, καὶ τῆς κεφαλῆς ἀφελόντες, κομίσαντες
αὐτὴν τῷ Σεβήρῳ, δισσὰ καὶ μέγιστα ἤγειραν τρό-
παια, τὸ μὲν ἐν ἀνατολῇ, τὸ δ' ὑπ' ἄρκτῳ· ὡς
μηδὲν ταῖς Σεβήρου μάχαις ἢ νίκαις παραβάλλεσθαι,
μήτε πλήθει δυνάμεως, μήτε ἐθνῶν κινήσεσιν,
ἀριθμῷ τε παρατάξεων, ὁδοιπορίας τε μήκει καὶ
8 τάχει. μεγάλαι μὲν γὰρ αἱ Καίσαρος πρὸς Πομ-
πήϊον ἑκατέρωθεν στρατοπέδων Ῥωμαϊκῶν μάχαι,
καὶ αὖ τοῦ Σεβαστοῦ πρὸς Ἀντώνιον ἢ τοὺς Πομ-
πηΐου παῖδας, εἴ τέ τι πρότερον Σύλλᾳ ἢ Μαρίῳ
ἐν ἐμφυλίοις καὶ Ῥωμαϊκαῖς μάχαις ἢ ἄλλοις πέ-
πρακται· ἕνα δὲ ἄνδρα τρεῖς καθελόντα βασιλέας,
ἤδη κρατοῦντας, καὶ τοῦ μὲν ἐν Ῥώμῃ στρατοῦ
σοφίᾳ περιγενέσθαι, καὶ τὸν ὄντα ἐν τῇ βασιλείῳ
αὐλῇ καθῃρηκέναι, τὸν δὲ τῶν ἐν τῇ ἀνατολῇ κρα-
τοῦντα πάλαι, καὶ ὑπὸ Ῥωμαίων βασιλέα κληθέν-
τα, τὸν δὲ, ἐν Καίσαρος τιμῇ καὶ ἐξουσίᾳ γεγονότα,
χειρωσάμενον ἀνδρείᾳ, οὐκ ἔστιν ἄλλον ῥᾳδίως εἰ-
πεῖν. τέλει μὲν δὴ τοιούτῳ ὁ Ἀλβῖνος ἐχρήσατο,
πρὸς ὀλίγον ἀπολαύσας ὀλεθρίου τιμῆς.
1 VIII. Ὁ δὲ Σεβῆρος θυμῷ καὶ ὀργῇ εὐθέως
πρὸς τοὺς ἐν Ῥώμῃ φίλους αὐτοῦ ἐχρῆτο· καὶ
πέμψας τὴν κεφαλὴν τοῦ Ἀλβίνου, δημοσίᾳ ἀνα-

σταυρωθῆναι κελεύει· γράμμασί τε τῷ δήμῳ τὴν
νίκην ἑαυτοῦ δηλώσας, ἐπὶ τέλει καὶ τοῦτο προςέθη-
κε, πεπομφέναι τὴν κεφαλὴν αὐτοῦ, δημοσίᾳ πε-
ρίοπτον ἀνασταυρωθῆναι κελεύσας, ἵνα αὐτὸς οἷόν-
περ ἐδείκνυεν αὐτοῦ τὸν θυμὸν ἴδῃ καὶ τὴν πρὸς
ἐκείνους ὀργήν. διοικήσας δὲ τὰ κατὰ τὴν Βρεττα- 2
νίαν, καὶ διελὼν εἰς δύο ἡγεμονίας τὴν τοῦ ἔθνους
ἐξουσίαν, τά τε κατὰ τὰς Γαλλίας ὡς ᾤετο ἄριστα
διαθείς, πάντας τε τοὺς Ἀλβίνου φίλους, εἴτε
ἑκουσίως, εἴθ᾽ ὑπὸ ἀνάγκης αὐτῷ γνωρισθέντας,
φονεύσας, τάς τε οὐσίας αὐτῶν δημεύσας, εἰς τὴν
Ῥώμην ἠπείγετο, ἄγων ἅπαντα τὸν στρατὸν σὺν
αὑτῷ, ὡς φανείη φοβερώτερος.

Ἀνύσας δὴ πολλῷ τὴν ὁδοιπορίαν τάχει, ὥς- 3
περ ἦν ἔθος αὐτῷ, χαλεπαίνων πρὸς ἔτι περιόντας
τοὺς ἐκείνου φίλους, εἰς τὴν Ῥώμην εἰςήλασεν. ὁ
δὲ δῆμος αὐτὸν δαφνηφορῶν μετὰ πάσης τιμῆς καὶ
εὐφημίας ὑπεδέξατο· ἥ τε Σύγκλητος προςηγόρευ-
σαν, οἱ πλεῖστοι ἐν μεγίστῳ δέει καθεστῶτες, λο-
γιζόμενοι ὅτι αὐτῶν οὐ φείσεται, φύσει μὲν ὢν
ἐχθρὸς χαλεπώτατος, καὶ μικρᾶς προφάσεως δεό-
μενος εἰς τὸ ἀδικῆσαι, τότε δὲ δοκῶν καὶ εὐλόγους
ἔχειν αἰτίας. ὁ δ᾽ οὖν Σεβῆρος εἰς τὸ τοῦ Διὸς τέ- 4
μενος ἀνελθών, καὶ τὰς λοιπὰς τελέσας ἱερουργίας,
ἐπανῆλθεν εἰς τὰ βασίλεια, καὶ τῷ δήμῳ προὔθη-
κεν ἐπὶ ταῖς νίκαις μεγίστας νομάς· τοῖς τε στρα-
τιώταις ἐπέδωκε χρήματα πλεῖστα, ἄλλα τε πολλὰ
συνεχώρησεν, ἃ μὴ πρότερον εἶχον. καὶ γὰρ τὸ 5
σιτηρέσιον αὐτοῖς πρῶτος ηὔξησε, καὶ δακτυλίοις
χρυσοῖς χρήσασθαι ἐπέτρεψε, γυναιξί τε συνοικεῖν·
ἅπερ ἅπαντα σωφροσύνης στρατιωτικῆς καὶ τοῦ πρὸς
τὸν πόλεμον εὐσταλοῦς τε καὶ ἑτοίμου ἀλλότρια ἐνο-
μίζετο. καὶ πρῶτός τε ἐκεῖνος τὸ πάνυ αὐτῶν ἐῤ-
ῥωμένον, καὶ τὸ σκληρὸν τῆς διαίτης, τό τε εὐπει-
θὲς πρὸς τοὺς πόνους, καὶ εὔτακτον, μετ᾽ αἰδοῦς
πρὸς ἄρχοντας, ἐπανέτρεψε· χρημάτων τε ἐπιθυ-
μεῖν διδάξας, καὶ μεταγαγὼν εἰς τὸ ἁβροδίαιτον.

6 Διοικήσας δὲ ταῦτα ὡς ᾤετο ἄριστα, κατελ-
θὼν εἰς τὴν σύγκλητον Βουλὴν, ἀνελθών τε εἰς
τὸν βασίλειον θρόνον, πικρῶς κατηγόρησε τῶν Ἀλ-
βίνου φίλων· ὧν μὲν ἐπιστολὰς προκομίζων ἀποῤ-
ῥήτους, ἃς ἐν τοῖς ἐκείνου ἀποθέτοις εὗρε γράμ-
μασιν, οἷς δὲ δῶρα ὀνειδίζων πεμφθέντα ἐκείνῳ πο-
λυτελέστερα· ἄλλοις δὲ ἄλλας ἐπιφέρων αἰτίας, τοῖς
μὲν ἐξ ἀνατολῆς ἀνθρώποις φιλίαν [Νίγρου,] τοῖς
7 δ᾽ ἐπὶ θάτερα γνῶσιν Ἀλβίνου. πάντας τοὺς ἐξέχον-
τας τότε τῆς συγκλήτου Βουλῆς, καὶ τοὺς κατὰ
ἔθνη πλούτῳ ἢ γένει ὑπερέχοντας, ἀφειδῶς ἀνῄρει·
ὡς μὲν προςεποιεῖτο, χαλεπαίνων πρὸς ἐχθρούς, τὸ
δ᾽ ἀληθές, ὑπερβαλλούσης ἐν αὐτῷ φιλοχρηματίας·
8 οὐδεὶς γοῦν βασιλέων οὕτω χρημάτων ἡττήθη. ὡς
γὰρ καρτερίᾳ ψυχῆς καὶ ἀνεξικακίᾳ πόνων, διοική-
σει τε στρατιωτικῶν πραγμάτων, οὐδενὸς τῶν ἐπαι-
νουμένων ἀπελείπετο· οὕτως ἐν αὐτῷ ἐπλήθυνε τὸ
φιλοχρήματον ἐξ ἀδικίας φόνων ἐκ τῆς τυχούσης
αἰτίας. φόβῳ γοῦν ἦρξε μᾶλλον τῶν ἀρχομένων ἢ
9 εὐνοίᾳ. τῷ μέντοι δήμῳ ἐπειρᾶτο ποιεῖν κεχαρισμέ-
να. καὶ γὰρ θέας πολυτελεῖς καὶ παντοδαπὰς συν-
εχῶς ἐπετέλει, καὶ θηρίων ἑκατοντάδας ἀνεῖλε πολ-
λάκις, τῶν ἀπὸ πάσης γῆς ἡμετέρας τε καὶ βαρ-
βάρου· νομάς τε μεγαλοφρόνως ἐπεδίδου. ἐπετέ-
λεσε δὲ καὶ ἐπινίκιον ἀγῶνα, τοὺς πανταχόθεν μού-
σης τε ὑποκριτὰς καὶ ἀνδρείας μαθητὰς μεταπεμψά-
10 μενος. εἴδομεν δὲ ἐπ᾽ αὐτοῦ καὶ θέας τινῶν παν-
τοδαπῶν θεαμάτων ἐν πᾶσι θεάτροις ὁμοῦ, ἱερουρ-
γίας τε καὶ παννυχίδας, ἐπιτελεσθείσας εἰς μυστη-
ρίων ζῆλον· αἰωνίους δὲ αὐτὰς ἐκάλουν οἱ τότε,
ἀκούοντες τριῶν γενεῶν διαδραμουσῶν ἐπιτελεῖσθαι.
κήρυκες γοῦν κατά τε τὴν Ῥώμην καὶ τὴν Ἰταλίαν
διεφοίτων, καλοῦντες ἥκειν καὶ θεάσασθαι πάντας,
ἃ μήτε εἶδον, μήτε ὄψονται. οὕτως ὁ μεταξὺ χρό-
νος τῆς παρελθούσης ἑορτῆς καὶ τῆς μελλούσης ἐδη-
λοῦτο, πᾶσαν ἡλικίαν ἀνθρώπων ὑπερβαίνων.
1 IX. Διατρίψας δὲ ἱκανοὺς χρόνους ἐν τῇ Ῥώ-
μῃ, τούς τε υἱεῖς αὐτοῦ κοινωνοὺς τῆς βασιλείας

καὶ αὐτοκράτορας ἀποδείξας, βουλόμενος δόξαν ἄρα-
σθαι νίκης μὴ μόνον ἐμφυλίου τε καὶ κατὰ Ῥωμαϊ-
κῶν στρατοπέδων, (ἐφ' ᾗ καὶ θριαμβεῦσαι ᾐδέσθη,)
ἀλλὰ καὶ κατὰ Βαρβάρων ἐγεῖραι τρόπαια· πρόφα-
σιν ποιούμενος τὴν Βαρσημίου τοῦ Ἀτρηνῶν βασι-
λέως πρὸς Νίγρον φιλίαν, ἐστράτευσεν ἐπὶ τὴν ἀνα-
τολήν. παρὼν δὲ καὶ τὴν Ἀρμενίαν καταδραμεῖν 2
ἠθέλησε. φθάσας δὲ ὁ τῶν Ἀρμενίων βασιλεὺς,
χρήματά τε αὐτῷ καὶ δῶρα ὁμήρους τε ἱκετεύων
ἔπεμψε, σπονδὰς καὶ εὔνοιαν ὑπισχνούμενος. ὁ δὲ
Σεβῆρος, τῶν ἐν Ἀρμενίᾳ προχωρούντων κατὰ γνώ-
μην, ἐπὶ τὴν Ἀτρηνῶν ἠπείγετο. προσέφυγε δὲ αὐ-
τῷ καὶ ὁ Ὀσροηνῶν βασιλεὺς Αὔγαρος, τούς τε
παῖδας ὁμηρεύειν εἰς ἀσφάλειαν πίστεως ἐξέδωκε,
τοξότας τε πλείστους συμμάχους ἤγαγεν.

Ὁ δὲ Σεβῆρος, διαβὰς τὴν τῶν ποταμῶν μέ- 3
σην γῆν τε καὶ Ἀδιαβηνῶν χώραν, ἐπέδραμε καὶ
τὴν εὐδαίμονα Ἀραβίαν· (φέρει γὰρ πόας εὐώδεις,
αἷς ἀρώμασι καὶ θυμιάμασι χρώμεθα·) πολλὰς δὲ
κώμας καὶ πόλεις πορθήσας, τήν τε χώραν λεηλα-
τήσας, ἐλθὼν εἰς τὴν Ἀτρηνῶν χώραν, προςκαθε-
ζόμενος τὰς Ἄτρας ἐπολιόρκει. ἦν δὲ πόλις ἐπ' 4
ἄκρας ὑψηλοτάτης ὄρους, τείχει μεγίστῳ καὶ γεν-
ναίῳ περιβεβλημένη, πλήθει . . ἀνδρῶν τε τοξοτῶν
ἀκμάζουσα. ὁ δὲ τοῦ Σεβήρου στρατὸς προςκαθε-
ζόμενος ἐπολιόρκει παντὶ σθένει, πειρώμενος τὴν πό-
λιν ἐξελεῖν· μηχαναί τε παντοδαπαὶ προςήγοντο τῷ
τείχει, καὶ οὐδὲν παρελείπετο εἶδος πολιορκίας. οἱ 5
δὲ Ἀτρηνοὶ γενναίως ἀπεμάχοντο· τόξοις τε καὶ
λίθοις ἄνωθεν βάλλοντες, οὐ μικρῶς ἐλύπουν τὸν
τοῦ Σεβήρου στρατόν. σκεύη τε κεράμου πεποιημέ-
να πληροῦντες πτηνῶν, μικρῶν μὲν, ἰοβόλων δὲ
θηρίων, ἐπέβαλλον αὐτοῖς· τὰ δὲ, ἐμπίπτοντα
ταῖς ὄψεσι, καὶ εἴ τί που παραγεγύμνωτο τοῦ σώ-
ματος, λανθάνοντα καὶ παρεισιόντα τιτρώσκοντά τε
αὐτοὺς ἐλυμαίνετο. καὶ μὴ φέροντες τὸ πνιγῶδες 6
τοῦ ἀέρος, διὰ τὸ ὑπερβάλλον τοῦ ἡλίου πῦρ, νό-
σοις περιπίπτοντες, διεφθείροντο· ὡς πλεῖστον μέ-

ρος τοῦ στρατοῦ διὰ τοιαύτας αἰτίας μᾶλλον ἀπόλλυσθαι ἢ πρὸς τῶν πολεμίων.

Ἀπαγορεύοντος δὲ τοῦ στρατοῦ πρὸς τὰ εἰρημένα, τῆς τε πολιορκίας μὴ προχωρούσης, ἀλλὰ μᾶλλον βλαπτομένων τῶν Ῥωμαίων ἢ κατορθούντων, τὸν στρατὸν ὁ Σεβῆρος, ὡς μὴ διαφθαρείη πᾶς, ἄπρακτον ἐπανήγαγε, δυςφοροῦντα ἐπὶ τῷ μὴ ὡς ἐβούλετο τὰ τῆς πολιορκίας αὐτῷ προκεχωρηκέ-
7 ναι. νικᾶν γὰρ πάντοτε ἐν ταῖς μάχαις εἰθισμένος, τὸ μὴ περιγενέσθαι ἧτταν ἡγεῖτο. πλὴν παρεμυθήσατο αὐτὸν ἡ συναιρομένη τότε τοῖς ἐκείνου πράγμασι τύχη· οὐ γὰρ παντάπασιν ἄπρακτος ἐπανῆλθεν,
8 ἀλλὰ μείζονα κατορθώσας ὧν ἤλπισε. καταπλέων γὰρ ὁ στρατὸς ναυσὶ πολλαῖς, οὐκ εἰς ἃς ἐβούλετο Ῥωμαίων ὄχθας κατηνέχθη· ἐπὶ πλεῖστον δὲ αὐτὸν ἐξαγαγόντος τοῦ ῥεύματος, προςώκειλε ταῖς Παρθυαίων ὄχθαις, αἳ μὴ πολλῶν ἡμερῶν ὁδὸν ἀπεῖχον τῆς εἰς Κτησιφῶντα ἀφόδου· ἔνθα ἦν τὰ βασίλεια τοῦ Παρθυαίου, καὶ αὐτὸς διέτριβεν εἰρήνην ἄγων, μηδέν τι προςήκειν νομίζων ἑαυτῷ τὰς πρὸς τοὺς Ἀτρηνοὺς Σεβήρου μάχας· ἡσύχαζεν οὖν, μηδέν τι δεινὸν προςδεχόμενος.

9 Ὁ δὲ τοῦ Σεβήρου στρατὸς, ἄκων προςαχθεὶς ὑπὸ τοῦ ῥεύματος ταῖς ἐπέκεινα ὄχθαις, ἀπόβασίν τε ποιησάμενος, τὴν γῆν ἐλεηλάτει, θρέμματά τε τὰ ἐμπίπτοντα ἀπελαύνων, ἵν᾽ ἔχῃ τροφάς, καὶ κώμας ἐμπιπρὰς τὰς ἐμπιπτούσας. κατ᾽ ὀλίγον τε προϊὼν, ἐπέστη Κτησιφῶντι, ἔνθ᾽ ἦν ὁ μέγας βα-
10 σιλεὺς Ἀρτάβανος. προςπεσόντες δὲ οἱ Ῥωμαῖοι ἀπαρασκευάστοις τοῖς Βαρβάροις, πάντα τε τὸν ἐμπίπτοντα ἐφόνευον, καὶ διήρπασαν τὰ ἐν τῇ πόλει, πάντας τε παῖδας καὶ γυναῖκας αἰχμαλώτους ἔλαβον. φυγόντος δὲ τοῦ βασιλέως σὺν ὀλίγοις ἱππεῦσι, τούς τε θησαυροὺς τῶν χρημάτων αὐτοῦ αἴρουσι, καὶ πάντα τὸν κόσμον καὶ κειμήλια ἁρπά-
11 σαντες, ἐπανίασιν. οὕτω μὲν δὴ Σεβῆρος, τύχῃ μᾶλλον ἢ γνώμῃ, τῇ κατὰ Παρθυαίων νίκῃ κεκόσμητο.

Τούτων δὲ αὐτῷ δεξιῶς καὶ ὑπὲρ πᾶσαν εὐχὴν προχωρησάντων, ἐπέστειλε τῇ τε Συγκλήτῳ καὶ τῷ δήμῳ, τάς τε πράξεις μεγαληγορῶν, τὰς μάχας τε καὶ τὰς νίκας δημοσίαις ἀνέθηκε γραφαῖς. ἡ δὲ Σύγκλητος πάσας τε τιμὰς ἐψηφίσατο αὐτῷ, καὶ προσηγορίας ἀπὸ τῶν ἐθνῶν τῶν κεχειρωμένων.

X. Κατορθώσας δὲ τὰ κατὰ τὴν ἀνατολὴν ὁ 1
Σεβῆρος, εἰς τὴν Ῥώμην ἠπείγετο, ἄγων καὶ τοὺς παῖδας εἰς ἡλικίαν ἐφήβων ἤδη τελοῦντας.

Ἀνύσας δὲ τὴν ὁδοιπορίαν, τά τε ἐν τοῖς ἔθνεσι διοικήσας, ὡς ἑκάστῳ ἀπῄτει τὸ χρειῶδες, τά τε ἐν Μυσοῖς καὶ Παίοσι στρατόπεδα ἐπελθών, νικηφόρος ὑπὸ τοῦ Ῥωμαίων δήμου μετὰ μεγάλης εὐφημίας τε καὶ θρησκείας ὑπεδέχθη. θυσίας τε καὶ 2
ἑορτάς, θέας τε καὶ πανηγύρεις τῷ δήμῳ παρέσχε· νομάς τε μεγαλόφρονας ἐπιδούς, καὶ θέας τελέσας ἐπινικίους, ἐτῶν οὐκ ὀλίγων ἐν τῇ Ῥώμῃ διέτριψε, δικάζων τε συνεχῶς καὶ τὰ πολιτικὰ διοικῶν, τούς τε υἱεῖς παιδεύων καὶ σωφρονίζων.

Οἱ δὲ (ἤδη μειράκια ἤστην) ὑπὸ τῆς ἐν Ῥώμῃ 3
τρυφῆς καὶ διαίτης, τῆς τε περὶ τὰ θεάματα ὑπερβαλλούσης σπουδῆς ἡνιοχείας τε καὶ ὀρχήσεως, τὰ ἤθη διεφθείροντο. πρός τε ἀλλήλους ἐστασίαζον οἱ ἀδελφοί, τὰ πρῶτα μὲν ὑπὸ παιδαριώδους φιλονεικίας, δι᾽ ὀρτύγων μάχας καὶ ἀλκτρυόνων συμβολάς, πάλας τε παίδων, ἀλλήλοις ἐρίζοντες. ἥ τε περὶ τὰ 4
θεάματα αὐτῶν ἢ τὰ ἀκροάματα σπουδὴ φιλονείκως ἑκάστοτε ἐμερίζετο· καὶ οὐδενὶ ἀμφότεροι ὁμοίως ἠρέσκοντο, ἀλλὰ πᾶν τὸ τῷ ἑτέρῳ φίλον, τῷ ἄλλῳ ἐχθρὸν ἦν. συνέκρουον δὲ αὐτοὺς ἑκατέρωθεν οἵ τε κόλακες καὶ οἱ θεράποντες, πρὸς τὸ ἡδὺ τῆς ἡλικίας κολακεύοντες καὶ ἀνθέλκοντες. ὁ δὲ Σεβῆρος ταῦτα πυνθανόμενος, συνάγειν τε καὶ σωφρονίζειν τὰ πρῶτα ἐπειρᾶτο.

Τὸν δὲ πρεσβύτερον, ᾧ γνήσιον μὲν ἦν ὄνομα 5
Βασσιανός, πρὶν εἰς τὸν βασίλειον οἶκον παρελθεῖν, ὅτε δὴ τὴν τῆς ἀρχῆς τιμὴν εὐτύχησε, Σεβῆρος Ἀντωνῖνον ὠνόμασε, Μάρκου θελήσας αὐτὸν προς-

ηγορίαν φέρειν· ἠγάγετό τε αὐτῷ γυναῖκα, γάμῳ σωφρονίσαι θέλων. ἦν δὲ ἐκείνη θυγάτηρ τοῦ ἐπάρχοντος τῶν στρατοπέδων· Πλαυτιανὸς δὲ ἦν ὄνομα
6 αὐτῷ. τοῦτον τὰ μὲν πρῶτα τῆς ἡλικίας εὐτελῆ, (τινὲς αὐτὸν καὶ πεφυγαδεῦσθαι ἔλεγον, ἁλόντα ἐπὶ στάσεσι καὶ πολλοῖς ἁμαρτήμασιν,) ὄντα δὲ πολίτην ἑαυτοῦ, (Λίβυς γὰρ κἀκεῖνος ἦν,) ὡς μέν τινες ἔλεγον, πρὸς γένους αὐτῷ ὑπάρχοντα, ὡς δὲ ἕτεροι διέβαλλον, ἀκμαζούσῃ τῇ ἡλικίᾳ γενόμενον παιδικά, πλὴν ἀλλ' ὁ Σεβῆρος ἐκ μικρᾶς καὶ εὐτελοῦς τύχης εἰς μεγάλην προήγαγεν ἐξουσίαν, πλούτῳ τε ὑπερβάλλοντι ἐκόσμησε, τῶν ἀναιρουμένων χαριζόμενος τὰς οὐσίας, οὐδὲν ἕτερον ἀλλ' ἢ μερισάμενος πρὸς
7 αὐτὸν τὴν ἀρχήν. ᾗπερ ἐκεῖνος ἀποχρώμενος, οὔτε ὠμότητος οὔτε βίας ἐν πᾶσιν οἷς ἔπραττεν ἀπείχετο, φοβερώτερος τῶν πώποτε ἀρχόντων γενόμενος. τούτου τὴν θυγατέρα ὁ Σεβῆρος ζεύξας τῷ υἱῷ, τὸν οἶκον ἥνωσεν.

Ὁ δὲ Ἀντωνῖνος, οὐ πάνυ τι ἡδόμενος τῷ γάμῳ, ἀνάγκῃ δὲ μᾶλλον ἢ προαιρέσει συνεζευγμένος, ἀπεχθῶς πάνυ πρὸς τὴν κόρην διέκειτο καὶ πρὸς τὸν πατέρα αὐτῆς, ὡς μήτε εὐνῆς μήτε ἑστίας κοινωνεῖν, μυσάττεσθαί τε τὴν κόρην, ἀπειλεῖν τε ἑκάστοτε, ἀποκτενεῖν καὶ αὐτὴν καὶ τὸν πατέρα, ἐπὰν τῆς ἀρχῆς ἐγκρατὴς γένηται μόνος. ταῦτα δὴ ἡ κόρη ἑκάστοτε ἀπήγγελλε τῷ πατρί, καὶ τοῦ γάμου τὸ μῖσος διηγουμένη, παρώξυνεν αὐτόν.

1 XI. Ὁ δὲ Πλαυτιανὸς, ὁρῶν τὸν μὲν Σεβῆρον πρεσβύτην τε ἤδη, καὶ συνεχῶς ὑπὸ νόσου ἐνοχλούμενον, τὸν δὲ Ἀντωνῖνον ἐμβριθῆ καὶ θρασὺν νεανίαν, δεδιώς τε αὐτοῦ τὰς ἀπειλάς, δρᾶσαί τι μᾶλ-
2 λον φθάσας, ἢ παθεῖν ἀναμείνας, ἠθέλησεν. ἔτι τε αὐτὸν καὶ πολλὰ ἦν τὰ πρὸς βασιλείας ἐπιθυμίαν ἀναπείθοντα, πλούτου τε περιβολή, ἣ μὴ πρότερον τινὶ ἰδιωτεύοντι ἐγένετο, στρατιωτῶν τε θεραπεῖαι, τιμαί τε αἱ παρὰ τῶν ἀρχομένων, σχῆμά τε ὃ προῄει. ἠμφίεστο γὰρ τήν τε πλατύσημον ἐσθῆτα, ἐν τε τοῖς δεύτερον ὑπατεύσασιν ἐτέτακτο· παρηω-

ρητό τε αὐτῷ ξίφος, καὶ παντὸς ἀξιώματος σχῆμα
ἔφερε μόνος. προϊὼν δὲ φοβερὸς ἦν, ὥς μήτε τινὰ 3
προσιέναι, ἀλλὰ καὶ τοὺς ὑπαντωμένους ἀναστρέφειν·
οἵ τε προϊόντες αὐτοῦ ἐκήρυττον μηδένα παρεστά-
ναι, μηδ' εἰς αὐτὸν βλέπειν, ἀλλ' ἀποστρέφεσθαι καὶ
κάτω βλέπειν.

Οἷσπερ καὶ ὁ Σεβῆρος ἀγγελλομένοις οὐ πάνυ τι
ἠρέσκετο, ἀλλ' ἀπεχθὴς ἤδη καὶ βαρὺς κἀκείνῳ
ἐγένετο, ὥς καὶ περιελεῖν τινὰ αὐτοῦ τῆς ἐξουσίας
τὸν Σεβῆρον, καὶ πεῖσαι κολούειν τὸ ὑπερβάλλον
τῆς ἀλαζονείας. ἃ δὴ μὴ φέρων ὁ Πλαυτιανὸς, 4
ἐτόλμησεν ἐπιβουλεῦσαι τῇ ἀρχῇ, καὶ μηχανᾶται
τοιάδε. Σατορνῖνος ἦν εἷς τῶν ὑπ' αὐτῷ χιλιαρχούν-
των. οὗτος ὑπερβαλλόντως τὸν Πλαυτιανὸν ἐθερά-
πευε· καὶ πάντων μὲν τοῦτο ποιούντων, ἐκεῖνος
δὲ πλείονι θρησκείᾳ ᾠκείωτο αὐτόν. τοῦτον πιστό-
τατον ἡγούμενος, καὶ ἀποῤῥήτους μόνον οἷόντε φυ-
λάξαι καὶ πληρῶσαι ἐντολάς, περὶ δείλην μεταπεμ-
ψάμενος, πάντων ἀνακεχωρηκότων, „Νῦν σοὶ και- 5
ρός, ἔφη, τέλος γενναῖον ἐπιθεῖναι εὐνοίᾳ τε καὶ
ὑπηρεσίᾳ, ἣν πρός με ἐπεδείξω· ἐμοί τε, ἀμείψα-
σθαί σε κατ' ἀξίαν, καὶ τὴν προσήκουσαν χάριν
ἀποδοῦναι. πρόκειται δέ σοι αἵρεσις, ἢ τοῦ εἶναι
ὅπερ ἐμὲ νῦν ὁρᾷς ὄντα, καὶ τήνδε τὴν ἐξουσίαν
παραλαβεῖν, διαδεξάμενόν με, ἢ τεθνάναι αὐτίκα,
ἀπειθίας ὑποσχόντα τιμωρίαν. μηδέ σε τοῦ ἔργου 6
τὸ μέγεθος ἐκπληττέτω, μηδὲ τὸ τῶν βασιλέων ὄνο-
μα ταραττέτω. εἰσιέναι τε γὰρ μέχρι τοῦ δωμα-
τίου, ἔνθα ἀναπαύονται, δύνασαι μόνος, ἅτε τὴν
νυκτερινὴν φρουρὰν ἐκ περιόδου ἐγκεχειρισμένος. ὅ
τι δ' ἂν μέλλῃς πράττειν, λανθάνων ἀκωλύτως ἐς
τέλος ἄξεις. ἐπεὶ μήτ' ἐμὲ ἔτι τοιαῦτα κελεῦσαι
προσδόκα, μήτε σὲ ὑπακοῦσαι. ἄνελθε δὴ εἰς τὴν 7
βασίλειον αὐλήν, καὶ ὥς τινας ἀγγελίας ἐπειγούσας
καὶ ἀποῤῥήτους παρ' ἐμοῦ φέρων, ἐπεισελθὼν αὐ-
τοῖς, ἀπόκτεινον. ἀνὴρ δὲ γενναῖος γενοῦ, ῥᾳδίως
κατεργασάμενος πρεσβύτην τε καὶ παιδάριον. με-

τασχὼν γὰρ τὸ μέρος τῶν κινδύνων, μεθέξεις καὶ
τῶν μεγίστων τῆς κατορθώσεως τιμῶν."
8 Ταῦτα ἀκούσας ὁ χιλιάρχης, ἐξεπλάγη μὲν
τὴν ψυχὴν, οὐκ ἐταράχθη δὲ τὴν γνώμην· ἀλλ'
ἅτε ἀνὴρ οὐκ ἔξω φρενῶν καθεστὼς, (καὶ γὰρ ἦν
τῷ γένει Σύρος· δριμύτεροι δ' ὡς πρὸς τὰς ἐννοίας
οἱ ὑπὸ τὴν ἀνατολὴν ἄνθρωποι·) τὸν θυμὸν ὁρῶν
ἐνθουσιῶντα τοῦ κελεύοντος, καὶ τὴν ἐξουσίαν εἰ-
δὼς, οὐκ ἀντεῖπεν, ὡς μὴ παρ' αὐτὰ κολασθείη·
προσποιησάμενος δὲ εὐκταῖα καὶ ἀσπαστὰ ἀκούειν,
προσκυνήσας τε ὡς ἤδη βασιλέα, γραμματεῖον ᾔτη-
9 σε, τοῦ φόνου φέρον τὰς ἐντολάς. ἔθος γὰρ τοῦ-
το τυραννικὸν, εἴ τινα ἐκπέμποιεν ἐπὶ φόνον ἄκρι-
τον, ἐντέλλεσθαι τοῦτο διὰ γραμμάτων, ἵνα μὴ
γιγνόμενον ᾖ ἀκατασήμαντον. ὁ δὲ Πλαυτιανὸς,
τυφλώττων τῇ ἐπιθυμίᾳ, δίδωσιν αὐτῷ τὸ γραμ-
ματεῖον, καὶ ἐκπέμπει ἐπὶ τὸν φόνον, ἐντειλάμενος,
ἐπὴν ἀμφοτέρους διαχρήσηται, πρὶν διαβόητον γε-
νέσθαι τὸ πραχθὲν, πέμψαι τοὺς καλέσοντας αὐ-
τόν· ἵνα ὀφθῇ πρῶτον ἐν τοῖς βασιλείοις, ἢ ἀκου-
σθῇ τὴν βασιλείαν παραλαβών.
1 XII. Ἐπὶ ταύταις δὴ ταῖς συνθήκαις ἀνελθὼν
ὁ χιλιάρχης, εἰςῆλθε μὲν διὰ πάσης τῆς βασιλικῆς
οἰκίας κατὰ τὸ ἔθος ἀκωλύτως. εἰδὼς δὲ ἀδύνα-
τον ὂν, δύο διαχειρίζεσθαι βασιλέας, καὶ ταῦτα
ἐν διαφόροις οἴκοις διατρίβοντας, ἐπιστὰς τῷ δω-
ματίῳ τοῦ Σεβήρου, καλέσας τοὺς τοῦ βασιλικοῦ
θαλάμου φύλακας, ἠξίωσεν εἰςαχθῆναι εἰς αὐτὸν,
2 ὡς δὴ ὑπὲρ σωτηρίας αὐτῷ τινα ἀγγέλλων. οἱ δὲ
δηλώσαντες τῷ Σεβήρῳ, καὶ κελεύσαντος αὐτοῦ,
τὸν χιλίαρχον εἰςήγαγον. ὁ δὲ εἰςελθὼν, „Ἥκω
σοι, ἔφη, ὦ δέσποτα, ὡς μὲν ὁ πέμψας οἴεται,
φονεὺς καὶ δήμιος· ὡς δ' αὐτὸς εὔχομαί τε καὶ βού-
λομαι, σωτήρ τε καὶ εὐεργέτης. Πλαυτιανὸς γὰρ,
ἐπιβουλεύων τῇ ἀρχῇ, ἐνετείλατό μοι φόνον σοῦ
τε καὶ τοῦ παιδὸς, καὶ τοῦτο οὐ λόγοις μόνον, ἀλ-
λὰ καὶ γράμμασι· καὶ μαρτυρεῖ τὸ γραμματεῖον.
ἐγὼ δὲ ὑπεσχόμην μὲν, ὅπως μὴ, ἐμοῦ τὸ ἔργον

παραιτησαμένου, ἄλλῳ ἐγχειρισθῇ· σοὶ δὲ ταῦτα
δηλώσων ἥκω, ὡς ἂν μὴ λάθῃ τὰ τολμώμενα.“

Τοιαῦτά τινα λέγοντος αὐτοῦ καὶ δακρύοντος, 3
οὐκ εὐθέως ὁ Σεβῆρος ἐπίστευσεν· ἀλλ' ἅτε πολὺ
ἔχων ἐν τοῖς στέρνοις τὸ Πλαυτιανοῦ φίλτρον, συ-
σκευήν τινα καὶ σκηνὴν τὸ πρᾶγμα ὑπώπτευεν,
ἡγεῖτό τε τὸν υἱὸν αὐτοῦ, ἔχθει τῷ Πλαυτιανοῦ,
καὶ μίσει τῆς ἐκείνου θυγατρὸς, εὑρηκέναι τινὰ
τέχνην κατ' αὐτοῦ καὶ διαβολὴν θανατηφόρον. με- 4
ταπεμψάμενος δὲ τὸν υἱόν, ᾐτιᾶτο ὡς τοιαῦτα κα-
τασκευάζοντα κατὰ ἀνδρὸς εὔνου καὶ οἰκείου. ὁ δὲ
Ἀντωνῖνος τὰ μὲν πρῶτα ἀπώμνυτο, μηδ' εἰδέναι
φάσκων τὰ λεγόμενα· ἐγκειμένου δὲ τοῦ χιλιάρ-
χου, καὶ τὸ γραμματεῖον δεικνύντος, παρεθάρσυ-
νέ τε αὐτὸν καὶ προὔτρεπεν εἰς τοὺς ἐλέγχους ὁ
Ἀντωνῖνος. ὁ δὲ χιλιάρχης, ὁρῶν ἐς ὅσον ἥκει
κινδύνου, δεδιώς τε τὴν πρὸς τὸν Πλαυτιανὸν τοῦ
Σεβήρου εὔνοιαν, ἐπιστάμενος ὡς, εἰ λάθοι ἡ ἐπι-
βουλὴ καὶ μὴ ἐλεγχθείη, ὄλεθρος αὐτῷ οὐχ ὁ τυ-
χὼν ἐπήρτηται, „Καὶ τίνα, ἔφη, ὦ δέσποτα, 5
ἔλεγχον μείζονα βούλεσθε, ἢ ποίαν ἀπόδειξιν φα-
νερωτέραν; ἐπιτρέψατε γὰρ δή μοι, ἔφη, προελ-
θόντι τῶν βασιλείων, διά τινος τῶν ἐμοὶ πιστῶν
δηλῶσαι, ὅτι δὴ τὸ ἔργον κατείργασται. ὁ δὲ ἀφί-
ξεται πιστεύσας, καὶ οἰόμενος ἔρημα τὰ βασίλεια
καταλήψεσθαι. ὅταν δὲ ἀφίκηται, ὑμέτερον ἤδη
ἔργον, εὑρεῖν τὴν ἀλήθειαν. ἡσυχίαν δὲ εἶναι πολ-
λὴν ἀνὰ τὰ βασίλεια κελεύσατε, ὅπως τὸ πραττό-
μενον μὴ προγνωσθὲν ἀνατραπῇ.“

Ταῦτα εἰπὼν ἐντέλλεταί τινι τῶν πιστοτά- 6
των ἑαυτῷ, ἀγγεῖλαι Πλαυτιανῷ, ἥκειν τὴν ταχί-
στην· κεῖσθαι γὰρ ἀμφοτέρους τοὺς βασιλέας, καὶ
δεῖν αὐτὸν ἔνδον εἶναι, πρὶν ἔκπυστα τῷ δήμῳ γε-
νέσθαι· ὡς ἂν, τῆς ἀκροπόλεως κατειλημμένης, καὶ
τῆς βασιλείας ἱδρυμένης, ἑκόντες τε καὶ ἄκοντες
πάντες ὑπακούοιεν οὐκ ἐσομένῳ βασιλεῖ, ἀλλ' ἤδη
ὄντι. τούτοις πιστεύσας ὁ Πλαυτιανὸς, ἤδη περὶ 7
δείλην ἑσπέραν, ἀρθεὶς ταῖς ἐλπίσι, θώρακα μὲν

ἀμφιέννυται τῆς τοῦ σώματος ἀσφαλείας χάριν·
κρύψας δὲ αὐτὸν τῇ λοιπῇ ἐσθῆτι, ἐπιβὰς ὀχήμα-
τος, αἰφνιδίως εἰς τὰ βασίλεια ἠπείγετο, ὀλίγων
αὐτὸν παραπεμπόντων, οἳ παρῆσαν, οἰόμενοι κε-
κλῆσθαι ὑπὸ τῶν βασιλέων διά τινα ἐπείξαντα.
8 Ὡς δὲ ἐπέστη τῇ βασιλείῳ αὐλῇ, ἀκωλύτως
εἰςῆλθεν, ἀγνοούντων τὸ πραττόμενον τῶν φυλά-
κων· ὑπαντώμενος δ᾽ ὁ χιλίαρχος ἐνεδρεύων τε
προςεῖπεν αὐτοκράτορα, καὶ δῆθεν συνήθως λα-
βόμενος τῆς χειρός, εἰς τὸ δωμάτιον εἰςήγαγεν,
ἔνθα ἔφασκεν ἐῤῥίφθαι τὰ τῶν βασιλέων σώματα.
9 ἤδη δὲ παρεσκευάκει ὁ Σεβῆρος νεανίας τῶν περὶ
αὐτὸν σωματοφυλάκων, οἳ συλλήψονται αὐτὸν εἰς-
ελθόντα. ὁ δὲ Πλαυτιανὸς, ἐφ᾽ ἑτέραις ἐςελθὼν
ἐλπίσιν, ὁρᾷ τοὺς βασιλέας ἀμφοτέρους ἐφεστῶ-
τας, συλληφθείς τε κατείχετο· ἐκπλαγείς τε τῷ
πράγματι ἐδεῖτο καὶ ἐλιπάρει. ἀπελογεῖτό τε, πάντα
φάσκων ψευδῆ εἶναι, καὶ συσκευὴν κατ᾽ αὐτοῦ καὶ
10 δρᾶμα ἐσκευάσθαι. πολλὰς δὲ τοῦ μὲν Σεβήρου
ὀνειδίζοντος εὐεργεσίας τε καὶ τιμὰς, τοῦ δὲ πίστεώς
τε καὶ εὐνοίας τῆς ἄνωθεν ὑπομιμνήσκοντος, ἠρέμα
πως ὁ Σεβῆρος ὑπήγετο πειθοῖ τῶν ὑπὸ τοῦ Πλαυ-
τιανοῦ λεγομένων· ἔςτε δὴ ὑπεφάνη τοῦ θώρακος
μέρος, καταῤῥαχθείσης τῆς ἐπ᾽ αὐτῷ ἐσθῆτος.
ὅπερ ἰδὼν ὁ Ἀντωνῖνος, νέος θρασὺς θυμοειδής τε,
11 καὶ φύσει μισῶν τὸν ἄνθρωπον, „Ἀλλὰ πρὸς δύο,
ἔφη, ταῦτα τί ἂν ἀποκρίναιο; ἥκεις πρὸς βασιλέας
ἑσπέρας, μὴ κελεύσαντας· ὁ δὲ θώραξ σοὶ τί βού-
λεται; τίς γὰρ εἰς ἑστίασιν ἢ κῶμον ὡπλισμένος
ἔρχεται;“ Καὶ ταῦτα εἰπὼν, κελεύει τῷ χιλιάρχῳ
τοῖς τε παροῦσι, σπασαμένοις τὰ ξίφη φονεῦσαι τὸν
12 ἄνδρα, ὡς ὁμολογουμένως πολέμιον. οἱ δὲ, μὴ μελ-
λήσαντες, κελεύσαντι τῷ νέῳ βασιλεῖ πείθονται· ἀναι-
ροῦσί τε αὐτόν, καὶ τὸ σῶμα ῥίπτουσιν εἰς τὴν
λεωφόρον, ὡς ἂν πᾶσι φανερὸν γένοιτο, καὶ ὑπὸ μι-
σούντων ὑβρισθείη. τούτῳ μὲν δὴ τῷ τέλει Πλαυ-
τιανὸς ἐχρήσατο, ἀπλήστῳ τε ζήσας πάντων ἐπιθυ-
μίᾳ, καὶ χρησάμενος ἐν τῷ τέλει ἀπίστῳ ὑπηρεσίᾳ.

XIII. Ὁ δὲ Σεβῆρος τοῦ μὲν λοιποῦ ἐπάρχοντας δύο τῶν στρατοπέδων κατέστησεν· αὐτὸς δὲ τὰ πλεῖστα τοῦ βίου διέτριβεν ἐν τοῖς βασιλικοῖς προαστείοις, καὶ τοῖς παραλίοις τῆς Καμπανίας χωρίοις, δικάζων τε καὶ τὰ πολιτικὰ διοικῶν. ἀπάγειν γὰρ ἤθελε τοὺς παῖδας τῆς ἐν Ῥώμῃ διαίτης, χρηστῆς [δὲ] ἀπολαύειν· ἐπείπερ αὐτοὺς ἑώρα περὶ τὰ θεάματα ἐσπουδακότας ἀπρεπέστερον, ἢ βασιλεῦσιν ἥρμοζεν. ἥ τε περὶ ἐκεῖνα σπουδὴ καὶ φιλονεικία, διάφορον ἔχουσα καὶ ἀντίπαλον ἀεὶ τὴν γνώμην, τῶν ἀδελφῶν ἐτάραττε τὰς ψυχάς, ἐναύσματά τε ἔριδος καὶ ἔχθρας παρεῖχε. 1 2

Μάλιστα δὲ ὁ Ἀντωνῖνος ἀφόρητος ἦν, ἀποσκευασάμενος τὸν Πλαυτιανόν. ᾐδεῖτο δὲ καὶ ἐφοβεῖτο τὸν πατέρα, πρᾶξαί τι ἀνήκεστον· τῇ τε θυγατρὶ μὲν ἐκείνου, γυναικὶ δὲ αὐτοῦ, παντὶ τρόπῳ θάνατον ἐμηχανᾶτο. ὁ δὲ Σεβῆρος αὐτήν 3
τε ἐκείνην καὶ τὸν ἀδελφὸν αὐτῆς εἰς Σικελίαν ἐξέπεμψεν, αὐτάρκη δοὺς περιουσίαν εἰς τὸ βιοῦν δαψιλῶς, μιμησάμενος τὸν Σεβαστόν. καὶ γὰρ ἐκεῖνος τοῖς Ἀντωνίου παισὶ, πολεμίου γενομένου, οὕτως ἐχρήσατο. αὐτὸς δὲ ἐπειρᾶτο συνάγειν ἀεὶ τοὺς παῖδας εἰς φιλίαν, καὶ προτρέπειν εἰς ὁμόνοιαν καὶ συμφωνίαν· μύθων τε ἀρχαίων καὶ δραμάτων ὑπεμίμνησκεν, ἀεὶ βασιλέων ἀδελφῶν συμφορὰς ἐκ στάσεως διηγούμενος. θησαυρούς τε καὶ 4
νεώς, πάντα ἐδείκνυε χρημάτων πλήρη· πλοῦτόν τε καὶ δύναμιν οὐκ ἔσεσθαι ἔξωθεν ἐπιβουλεῦσαι, τοσαύτης μὲν οὔσης οἴκοι περιουσίας, ὡς ἀφειδῶς καὶ δαψιλῶς τοῖς στρατιώταις χορηγεῖν, τῆς τε ἐν Ῥώμῃ δυνάμεως αὐτῆς τετραπλασιασθείσης, καὶ στρατοπέδου τοσούτου πρὸ τῆς πόλεως ἱδρυθέντος, ὡς μηδεμίαν εἶναι δύναμιν ἔξωθεν ἐχέγγυον, μηδ' ἀντίπαλον πλήθει στρατοῦ, μήτε μεγέθει σωμάτων, μήτε χρημάτων περιουσίᾳ. πλὴν οὐδὲν 5
ὄφελος τούτων πάντων ἔλεγε, στασιαζόντων πρὸς ἀλλήλους, τοῦ τε πολέμου ἔνδον ὄντος. ὁ μὲν δὴ τοιαῦτά τινα λέγων ἑκάστοτε, ποτὲ μὲν λιπαρῶν,

ποτὲ δὲ ἐπιπλήττων, σωφρονίζειν αὐτοὺς ἅμα καὶ συνάγειν ἐπειρᾶτο· οἱ δ᾽ οὔτι γε ἐπείθοντο, ἀφη-
6 νίαζον δὲ καὶ ἐπεδίδοσαν εἰς τὸ χεῖρον. ἅτε δὲ νεανίας σφριγῶντας, καὶ ὑπὸ βασιλικῆς ἐξουσίας εἰς πάσας ἡδονῶν ὀρέξεις ἀπλήστως ὁρμωμένους, ἕκαστοι τῶν κολακευόντων ἀνθεῖλκον πρὸς αὑτούς, οὐ μόνον ὑπηρετούμενοι ταῖς ἐπιθυμίαις αὐτῶν καὶ ταῖς περὶ τὰ αἴσχιστα σπουδαῖς, ἀλλὰ καὶ ἀεί τι καινὸν ἐξευρίσκοντες, δι᾽ οὗ εὐφρανοῦσι μὲν ὃν ἐκολάκευον, λυπήσουσι δὲ τὸν ἀδελφόν. ἤδη γοῦν τινας καὶ λαβὼν ἐπὶ τοιαύταις ὑπηρεσίαις ὁ Σεβῆρος, ἐκόλασεν.

1 XIV. Ἀσχάλλοντι δὲ αὐτῷ ἐπὶ τῷ τοιούτῳ βίῳ τῶν παίδων, καὶ τῇ περὶ τὰ θεάματα ἀπρεπεῖ σπουδῇ, ἐπιστέλλει ὁ τῆς Βρεττανίας ἡγούμενος, στασιάζειν τοὺς ἐκεῖ Βαρβάρους φάσκων, καὶ κατατρέχοντας τὴν χώραν, λείαν τε ἀπαγαγεῖν, καὶ πορθεῖν τὰ πλεῖστα· δεῖσθαι τοίνυν χειρὸς πλείονος πρὸς βοήθειαν τοῦ τόπου, ἢ βασιλικῆς ἐπιδη-
2 μίας. ὁ δὲ Σεβῆρος, ἀσμένως ταῦτα ἀκούσας, φύσει μὲν καὶ φιλόδοξος ἄλλως ὑπάρχων, καὶ μετὰ τὰς ὑπὸ ἀνατολαῖς καὶ ἄρκτῳ νίκας καὶ προσηγορίας βουλόμενος καὶ κατὰ Βρεττανῶν ἐγεῖραι τρόπαια, ἔτι δὲ καὶ τοὺς υἱοὺς ἀπαγαγεῖν τῆς Ῥώμης θέλων, ὡς ἂν νεάζοιεν ἐν στρατιωτικῷ βίῳ καὶ σώφρονι, ἀπαχθέντες τῆς ἐν Ῥώμῃ τρυφῆς καὶ διαίτης, ἐπαγγέλλει τὴν εἰς τὴν Βρεττανίαν ἔξοδον, πρεσβύτης τε ἤδη ὤν, καὶ ὑπὸ τῆς ἀρθρίτιδος νόσου κάμνων· ἀλλὰ τὰ τῆς ψυχῆς αὐτοῦ ἔῤῥωτο
3 ὑπὲρ πάντα νεανίαν. τὰ πλεῖστα γοῦν καὶ φοράδην φερόμενος τῆς ὁδοιπορίας εἴχετο, οὐδὲ πώποτε ἐπὶ πολὺ μένων ἀνεπαύετο. ἀνύσας δὲ τὴν ὁδὸν ἅμα τοῖς παισί, παντὸς λόγου καὶ ἐλπίδος θᾶττον τὸν Ὠκεανὸν διαπλεύσας, Βρεττανοῖς ἐπέστη· τούς τε πανταχόθεν στρατιώτας ἀθροίσας, καὶ δύναμιν πολλὴν ἀγείρας, τὰ πρὸς τὸν πόλεμον παρεσκευάζετο.

4 Οἱ δὲ Βρεττανοὶ, τῇ τοῦ βασιλέως ἐκπλαγέντες αἰφνιδίῳ ἐπιδημίᾳ, δύναμίν τε ἀκούσαντες παμ-

πλείστην ἐπ᾿ αὐτοὺς ἀθροισθεῖσαν, πρεσβείας ἔπεμπον, περί τε εἰρήνης διελέγοντο, ἀπολογεῖσθαί τε ἐβούλοντο πρὸς τὰ προημαρτημένα. ὁ δὲ Σεβῆρος 5
διατριβάς τε χρόνου ζητῶν, ὡς ἂν μὴ πάλιν εἰς τὴν Ῥώμην ἐπείγοιτο, ἔτι δὲ καὶ βουλόμενος προςκτήσασθαι τὴν κατὰ Βρεττανῶν νίκην τε καὶ προςηγορίαν, τοὺς μὲν πρέσβεις αὐτῶν ἀπράκτους ἔπεμψεν, εὐτρέπιζε δὲ τὰ πρὸς τὴν μάχην. μάλιστα δὲ γεφύραις διαλαμβάνειν ἐπειρᾶτο τὰ ἑλώδη χωρία, ὡς ἂν ἐπ᾿ ἀσφαλοῦς βαίνοντες οἱ στρατιῶται, ῥᾳδίως τε αὐτὰ διατρέχοιεν, καὶ ἐπ᾿ ὀχυροῦ βήματος ἑδραίως ἑστῶτες μάχοιντο. τὰ γὰρ πλεῖ- 6
στα τῆς Βρεττανῶν χώρας, ἐπικλυζόμενα ταῖς τοῦ Ὠκεανοῦ συνεχῶς ἀμπώτισιν, ἑλώδη γίγνεται· οἷς ἔθος τοῖς μὲν Βαρβάροις ἐννήχεσθαί τε καὶ διαθεῖν, βρεχομένοις μέχρις ἰξύων. γυμνοὶ γὰρ ὄντες τὰ πλεῖστα τοῦ σώματος, τῆς ἰλύος καταφρονοῦσιν. οὐδὲ γὰρ ἐσθῆτος ἴσασι χρῆσιν, ἀλλὰ τὰς μὲν λα- 7
πάρας καὶ τοὺς τραχήλους κοσμοῦσι σιδήρῳ, καλλώπισμα τοῦτο καὶ πλούτου σύμβολον νομίζοντες, ὥςπερ τὸν χρυσὸν οἱ λοιποὶ Βάρβαροι· τὰ δὲ σώματα στίζονται γραφαῖς ποικίλων ζώων παντοδαπῶν εἰκόσιν. ὅθεν οὐδ᾿ ἀμφιέννυνται, ἵνα μὴ σκέπωσι τοῦ σώματος τὰς γραφάς. εἰσὶ δὲ μαχιμώτατοί 8
τε καὶ φονικώτατοι, ἀσπίδα μόνην στενὴν περιβεβλημένοι καὶ δόρυ, ξίφος δὲ παρηρτημένοι γυμνοῦ σώματος. θώρακος δὲ ἢ κράνους οὐκ ἴσασι χρῆσιν, ἐμπόδιον νομίζοντες πρὸς τὴν δίοδον τῶν ἑλῶν· ἐξ ὧν τῆς ἀναθυμιάσεως καὶ παχύτητος ὁ κατ᾿ ἐκείνην τὴν χώραν ἀὴρ ζοφώδης ἀεὶ φαίνεται. πρὸς δὴ ταῦτα ἐξήρτυεν ὁ Σεβῆρος, ὅσα συνοίσειν ἔμελλε τῷ Ῥωμαίων στρατῷ, λυπήσειν δὲ καὶ ἐμποδιεῖν τὴν τῶν Βαρβάρων ὁρμήν.

Ὡς δὲ αὐτάρκως ὤφθη αὐτῷ τὰ πρὸς τὸν 9
πόλεμον εὐτρεπίσθαι, τὸν μὲν νεώτερον τῶν υἱῶν, τὸν Γέταν καλούμενον, καταλιπὼν ἐν τῷ ὑπὸ Ῥωμαίους ἔθνει, δικάσοντά τε καὶ τὰ λοιπὰ διοικήσοντα πολιτικὰ τῆς ἀρχῆς, δοὺς αὐτῷ συνέδρους

τῶν φίλων τοὺς πρεσβυτέρους· τὸν δὲ Ἀντωνῖνον
10 παραλαβὼν, ἐπὶ τοὺς Βαρβάρους ἠπείγετο. Ὑπερ-
βάντος δὲ τοῦ στρατοῦ τὰ προβεβλημένα ῥεύματά
τε καὶ χώματα τῆς Ῥωμαίων ἀρχῆς, συμβολαὶ καὶ
ἀκροβολισμοὶ πολλάκις ἐγίνοντο, τροπαί τε τῶν
Βαρβάρων. ἀλλὰ τοῖς μὲν ῥαδία ἦν ἡ φυγὴ, καὶ
διελάνθανον ἔν τε δρυμοῖς καὶ ἕλεσι, καὶ τῇ τῶν
χωρίων γνώσει. ἅπερ πάντα Ῥωμαίοις ὄντα ἐναν-
τία, πλείονα παρέσχε τῷ πολέμῳ τὴν διατριβήν.

1 XV. Τὸν δὲ Σεβῆρον, γηραιὸν ὄντα ἤδη, νόσος
ἐπιμηκεστέρα καταλαμβάνει. ὅθεν αὐτὸς μὲν ἠναγ-
κάζετο μένειν οἴκοι, τὸν δὲ Ἀντωνῖνον ἐπειρᾶτο ἐκ-
πέμπειν διοικήσοντα τὰ στρατιωτικά. ὁ δὲ Ἀντω-
νῖνος τῶν μὲν πρὸς τοὺς Βαρβάρους μετρίως ἐφρόν-
τιζεν, ἐπειρᾶτο δὲ οἰκειοῦσθαι τὰ στρατεύματα,
καὶ πάντας ἀνέπειθεν εἰς αὐτὸν βλέπειν μόνον·
ἐμνᾶτό τε παντὶ τρόπῳ τὴν μοναρχίαν, διαβάλλων
2 τὸν ἀδελφόν. ὁ δὲ πατὴρ ἐπὶ πολὺ νοσῶν, καὶ
πρὸς τὸν θάνατον βραδύνων, ἐπαχθὴς αὐτῷ καὶ
ὀχληρὸς ἐφαίνετο· ἀνέπειθέ τε ἰατροὺς καὶ ὑπηρέ-
τας, κακουργῆσαί τι περὶ τὴν θεραπείαν τοῦ γέρον-
τος, ὡς ἂν θᾶττον αὐτοῦ ἀπαλλαγείη. πλὴν ἀλ-
λὰ μόλις ποτὲ Σεβῆρος, λύπῃ τὸ πλεῖστον διαφθα-
ρεὶς, ἀνεπαύσατο τοῦ βίου, ἐνδοξότατα βιώσας,
ὅσον πρὸς τὰ πολεμικὰ, τῶν πώποτε βασιλέων.
3 οὔτε γὰρ ἐμφύλια κατ᾽ ἐχθρῶν, οὔτε ξένα κατὰ
Βαρβάρων, τοσαῦτά τις πρὸ αὐτοῦ ἤγειρε τρό-
παια. βασιλεύσας δὲ ὀκτωκαίδεκα ἔτεσιν, ἐπὶ
παισὶ νεανίαις διαδόχοις ἀνεπαύσατο· χρήματά
τε αὐτοῖς καταλιπὼν, ὅσα μηδεὶς πώποτε, καὶ δύ-
ναμιν στρατιωτῶν ἀνανταγώνιστον.

4 Ὁ δὲ Ἀντωνῖνος, τοῦ πατρὸς ἀποθανόντος,
λαβόμενος ἐξουσίας, εὐθὺς ἀφ᾽ ἑστίας πάντας φο-
νεύειν ἤρξατο· τούς τε ἰατροὺς ἀνελὼν, οἳ μὴ
ὑπήκουσαν αὐτῷ κελεύσαντι κακουργῆσαι, καὶ τὸν
θάνατον ἐπεῖξαι τοῦ γέροντος, τούς τε τροφεῖς αὐ-
τοῦ καὶ τοῦ ἀδελφοῦ, ἐπειδὴ προσέκειντο λιπαροῦν-
τες αὐτὸν ὑπὲρ ὁμονοίας. οὐδένα δὲ εἴασε περιγε-

νέσθαι τῶν ἐν τιμῇ γενομένων ἢ θεραπείᾳ τοῦ γέ-
ροντος. ἰδίᾳ τε δώροις καὶ μεγάλαις ὑποσχέσεσι 5
τοὺς τῶν στρατοπέδων ἡγουμένους ἐθεράπευεν,
ὅπως ἀναπείσειαν τὸν στρατὸν, ἀποδεῖξαι μόνον αὐ-
τοκράτορα· καὶ πᾶσαν μηχανὴν κατὰ τοῦ ἀδελφοῦ
ἐζήτει. οὐ μὴν ἔπειθε τὸ στρατιωτικόν· μεμνη-
μένοι δὲ τοῦ Σεβήρου, καὶ ὅτι ἀμφοτέρους ἴσους
δὴ ἐκ παίδων παραθρέψειαν, ἴσην αὐτοῖς ὑπηρε-
σίαν καὶ εὔνοιαν παρείχοντο. ὁ δὲ Ἀντωνῖνος, ἐπεὶ 6
μὴ προεχώρει αὐτῷ τὰ τῶν στρατοπέδων, σπει-
σάμενος πρὸς τοὺς Βαρβάρους, δούς τε εἰρήνην, τά
τε πιστὰ λαβὼν, ἐξῄει τε τῆς Βαρβάρου, πρός τε
τὸν ἀδελφὸν ἤδη καὶ τὴν μητέρα ἠπείγετο. ὡς δὲ
κατὰ τὸ αὐτὸ ἐγένοντο, συνάγειν αὐτοὺς ἡ μήτηρ
ἐπειρᾶτο, καὶ οἱ ἐν ἀξιώσει ὄντες καὶ σύνεδροι πα-
τρῷοι φίλοι.

Ὁ δὲ Ἀντωνῖνος, πάντων αὐτῷ πρὸς ἃ ἐβού- 7
λετο ἐναντιουμένων, ἀνάγκῃ μᾶλλον ἢ γνώμῃ, ἐς
ὁμόνοιαν καὶ φιλίαν ἐπίπλαστον μᾶλλον ἢ ἀληθῆ
περιήγετο. οὕτω δὴ τὰ τῆς βασιλείας ἀμφότεροι
διοικοῦντες ἐν ὁμοτίμῳ ἀρχῇ, ἀπᾶραι τῆς Βρεττα-
νίας ἠθέλησαν· εἴς τε τὴν Ῥώμην ἠπείγοντο, κομί-
ζοντες τὰ τοῦ πατρὸς λείψανα. τὸ γὰρ σωμάτιον
πυρὶ παραδόντες, τήν τε κόνιν σὺν ἀρώμασιν εἰς
κάλπην ἀλαβάστρου ἐμβαλόντες, ἀπεκόμιζον εἰς
τὴν Ῥώμην, εἰς τὰ βασίλεια ἀποθησόμενοι ἱερὰ
μνήματα. αὐτοὶ δὲ τὸν στρατὸν ἀναλαβόντες, νικη- 8
φόροι δὴ κατὰ Βρεττανῶν εἰς τὴν ἀντικειμένην
Γαλλίαν, διαβάντες τὸν Ὠκεανὸν, ἀφίκοντο.

Ὅπως μὲν δὴ Σεβῆρος τὸν βίον μετήλλαξε, καὶ οἱ παῖδες αὐτῷ τὴν ἀρχὴν διεδέξαντο, ἐν τῷ βιβλίῳ τούτῳ δεδήλωται.

# ΗΡΩΔΙΑΝΟΥ

## ΙΣΤΟΡΙΩΝ

## ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

1 I. Τὰ μὲν δὴ πραχθέντα Σεβήρῳ, βασιλεύσαντι
ὀκτωκαίδεκα ἔτεσιν, ἐν τῷ πρὸ τούτου βιβλίῳ δε-
δήλωται. οἱ δὲ υἱεῖς αὐτοῦ, ἤδη νεανίαι, ἅμα τῇ
μητρὶ εἰς τὴν Ῥώμην ἠπείγοντο, ἤδη μὲν κατὰ τὴν
ὁδὸν στασιάζοντες πρὸς ἀλλήλους. οὔτε γὰρ κατα-
γωγαῖς ταῖς αὐταῖς ἐχρῶντο, οὔτε συνειστιῶντο
ἀλλήλοις· πολὺ δὲ τὸ ὕποπτον ἐν ἅπασιν ἐδέσμασί
τε καὶ πόμασι, μή τις αὐτῶν προλαβὼν καὶ λαθὼν,
ἤ τινας ἀναπείσας τῶν ὑπηρετῶν, δηλητηρίῳ χρή-
2 σηται φαρμάκῳ. ταύτῃ γοῦν καὶ τὴν ὁδοιπορίαν
ἔτι μᾶλλον ἤπειγον, ἀδεέστερον ἑκάτερος βιώσε-
σθαι προσδοκῶν, εἰ ἐν τῇ Ῥώμῃ γένοιντο, καὶ τὰ
βασίλεια διελόμενοι, ἐν πλατείᾳ καὶ πολλῇ οἰκή-
σει καὶ πάσης πόλεως μείζονι καθ' ἑαυτὸν ἑκάτε-
ρος διάγοι, ὡς βούλοιτο.

3 Ὡς δὲ ἀφίκοντο εἰς τὴν Ῥώμην, ὅ τε δῆμος
αὐτοὺς δαφνηφορῶν ὑπεδέξατο, ἥ τε Σύγκλητος
προσηγόρευσεν. ἡγοῦντο δ' αὐτοὶ μὲν, τὴν βασί-
λειον φέροντες πορφύραν· εἵποντο δ' ὄπισθεν αὐ-
τοῖς οἱ τὴν ὕπατον ἀρχὴν τότε διέποντες, κάλπην
φέροντες, ἔνθα ἦν τὰ Σεβήρου λείψανα. οἵ τε
προσαγορεύοντες τοὺς νέους αὐτοκράτορας, παριόν-
4 τες καὶ τὴν κάλπην προσεκύνουν. ἐκείνην μὲν οὖν
παραπέμψαντες, καὶ προπομπεύσαντες αὐτῆς, ἀπέ-
θεντο ἐν τῷ νεῷ, ἔνθα Μάρκου τε καὶ τῶν πρὸ

αὐτοῦ βασιλέων ἱερὰ μνήματα δείκνυται. ἐπιτελέ-
σαντες δὲ τὰς νενομισμένας ἱερουργίας ἐπὶ ταῖς
βασιλικαῖς εἰσόδοις, ἀνῆλθον εἰς τὰ βασίλεια. διε- 5
λόμενοι δὲ αὐτὰ ἑκάτερος ᾤκει, παραφράττοντές τε
πάσας εἰσόδους, εἴ τινες ἦσαν λανθάνουσαι, μόναις
δὲ ταῖς δημοσίοις καὶ αὐλείοις ἀνέδην χρώμενοι,
φρουράς τε ἐπιστήσαντες ἰδίᾳ ἑκάτερος, οὐδὲ συν-
ιόντες, εἰ μὴ πρὸς ὀλίγον, ὅσον δημοσίᾳ εἴ ποτε 6
ὀφθῆναι. ἐπετέλεσαν δὲ πρὸ ἁπάντων τὴν εἰς τὸν
πατέρα τιμήν.

II. Ἔθος γάρ ἐστι Ῥωμαίοις, ἐκθειάζειν βα- 1
σιλέων τοὺς ἐπὶ διαδόχοις παισὶ τελευτήσαντας· τήν
τε τοιαύτην τελετὴν ἀποθέωσιν καλοῦσι. μεμιγμένον
δέ τι πένθος ἑορτῇ καὶ θρησκείᾳ κατὰ πᾶσαν τὴν
πόλιν δείκνυται. τὸ μὲν γὰρ σῶμα τοῦ τελευτή- 2
σαντος πολυτελεῖ κηδείᾳ καταθάπτουσιν ἀνθρώπων
νόμῳ. κηροῦ δὲ πλασάμενοι εἰκόνα, πάντα ὁμοίαν
τῷ τετελευτηκότι, ἐπὶ μεγίστης ἐλεφαντίνης κλίνης,
εἰς ὕψος ἀρθείσης, προτιθέασιν ἐν τῇ τῶν βασι-
λείων εἰσόδῳ, χρυσοϋφεῖς στρωμνὰς ὑποστρωννύντες.
ἡ δ᾽ εἰκὼν ἐκείνη ἐν σχήματι νοσοῦντος πρόκειται
ὠχριῶσα. τῆς δὲ κλίνης ἑκατέρωθεν καθέζονται 3
ἐπὶ πλεῖστον τῆς ἡμέρας, ἐν μὲν τῷ λαιῷ μέρει,
πᾶσα ἡ Σύγκλητος, μελαίναις ἐφεστρίσι χρώμενοι·
ἐν δὲ τῷ δεξιῷ, γυναῖκες πᾶσαι, ὅσαις ἀνδρῶν ἢ
πατέρων ἀξίωμα τιμῆς ἐνδόξου μεταδίδωσιν. οὔτε
δὲ χρυσοφοροῦσά τις αὐτῶν ὁρᾶται, οὔτε περιδε-
ραίοις κοσμουμένη, ἀλλὰ λιτὰς ἐσθῆτας λευκὰς
ἀμφιεννύμεναι, σχῆμα παρέχουσι λυπουμένων.

Ἑπτὰ μὲν οὖν ἡμερῶν τὰ εἰρημένα ἐπιτελεῖ- 4
ται· ἰατροί τε εἰσιόντες ἑκάστοτε, προσίασι τῇ κλί-
νῃ, καὶ δῆθεν ἐπισκεψάμενοι τὸν νοσοῦντα, χαλε-
πώτερον ἔχειν ἀπαγγέλλουσιν ἑκάστοτε. ἐπὰν δὲ
δόξῃ τετελευτηκέναι, τὴν μὲν κλίνην ἀράμενοι τοῦ
τε ἱππικοῦ τάγματος εὐγενέστατοι, καὶ τῆς Συγ-
κλήτου ἐπίλεκτοι νεανίαι, κατακομίζουσι διὰ τῆς
ἱερᾶς ὁδοῦ, εἴς τε τὴν ἀρχαίαν ἀγορὰν προτιθέα-
σιν, ἔνθα οἱ Ῥωμαίων ἄρχοντες ἀπόμνυνται. ἑκα- 5

τέρωθεν δὲ βάθρα τινὰ σύγκειται ἐν κλίμακος σχή-
ματι· καὶ ἐπὶ μὲν θατέρου μέρους, τῶν εὐγε-
νεστάτων καὶ εὐπατριδῶν χορὸς ἕστηκε παίδων·
ἐν δὲ τῷ ἀντικειμένῳ, γυναικῶν τῶν ἐν ἀξιώσει εἶ-
ναι δοκουσῶν. ᾄδουσι δὲ ἑκάτεροι ὕμνους τε καὶ
παιᾶνας εἰς τὸν τετελευτηκότα, σεμνῷ μέλει καὶ
θρηνώδει ἐῤῥυθμισμένους.
6 Μετὰ δὲ τοῦτο βαστάσαντες τὴν κλίνην, φέ-
ρουσιν ἔξω τῆς πόλεως εἰς τὸ καλούμενον Ἄρεως
πεδίον. ἔνθα κατεσκεύασται ἐν τῷ πλατυτάτῳ
τοῦ πεδίου τόπῳ τετράγωνόν τι καὶ ἰσόπλευρον,
ἄλλης μὲν ὕλης οὐδεμιᾶς μετέχον, ἐκ μόνης δὲ συμ-
πήξεως ξύλων μεγίστων, εἰς σχῆμα οἰκήματος.
7 πᾶν δὲ ἐκεῖνο ἔνδοθεν μὲν φρυγανων πεπλήρωται,
ἔξωθεν δὲ χρυσοϋφέσι στρωμναῖς, ἐλεφαντίνοις τε
ἀγάλμασι, γραφαῖς τε ποικίλαις κεκόσμηται. ἐπ'
ἐκείνῳ δὲ ἕτερον, σχήματι μὲν καὶ κόσμῳ παρα-
πλήσιον, μικρότερον [δὲ] ἐπίκειται, πυλίδας ἔχον
καὶ θύρας ἀνεῳγυίας. τρίτον τε καὶ τέταρτον,
ἀεὶ τοῦ ὑποκειμένου μεῖον, ἐς τελευταῖον βραχύ-
8 τατον περαιοῦται. ἀπεικάσαι τις ἂν τὸ σχῆμα τοῦ
κατασκευάσματος φρυκτωρίοις, ἃ τοῖς λιμέσιν ἐπι-
κείμενα, νύκτωρ διὰ τοῦ πυρὸς ἐς ἀσφαλεῖς δια-
γωγὰς τὰς ναῦς χειραγωγεῖ· φάρους δὲ αὐτὰ οἱ
πολλοὶ καλοῦσιν. ἐς δὴ τὸ οἴκημα τὸ δεύτερον ἀνα-
κομίσαντες τὴν κλίνην, τιθέασιν· ἀρώματά τε καὶ
θυμιάματα πάντα, ὅσα γῆ φέρει, εἴ τέ τινες καρ-
ποὶ ἢ πόαι χυμοί τε, συμβαλλόμενοι πρὸς εὐωδίαν,
9 ἀνακομίζονται, καὶ σωρηδὸν χέονται. οὔτε γὰρ
ἔθνος, οὔτε πόλις τις, οὔτε τῶν ἐν ἀξιώσει ἢ τιμῇ
ἐστιν, ὃς μὴ δῶρα ταῦτα ὕστατα πέμπει φιλοτί-
μως ἐς τιμὴν τοῦ βασιλέως. ἐπὰν δὲ μέγιστον
χῶμα ἀρθῇ τῶν ἀρωμάτων, πᾶς τε ὁ τόπος πλη-
ρωθῇ, ἱππασία περὶ τὸ κατασκεύασμα ἐκεῖνο γί-
γνεται. πᾶν τε τὸ ἱππικὸν τάγμα περιθεῖ κύκλῳ
μετά τινος εὐταξίας καὶ ἀνακυκλώσεως, πυῤῥιχίῳ
10 δρόμῳ καὶ ῥυθμῷ. ἅρματά τε περιέρχεται ὁμοίᾳ
εὐταξίᾳ, φέροντα τοὺς ἐφεστῶτας, ἠμφιεσμένους

μὲν τὰς περιπορφύρους ἐσθῆτας, προσωπεῖα δὲ περικειμένους, εἰκόνας ἔχοντα, ὅσοι Ῥωμαίων ἐνδόξως ἐστρατήγησαν ἢ ἐβασίλευσαν.

Τούτων δὲ συντελεσθέντων, λαβὼν λαμπάδα ὁ τὴν βασιλείαν διαδεξάμενος, προσφέρει τῷ οἰκήματι· οἵ τε λοιποὶ πανταχόθεν πῦρ περιτιθέασι· πάντα δὲ ῥᾷστα ἀνάπτεται εὐμαρῶς ὑπὸ τοῦ πυρός, φρυγάνων τε πλήθους καὶ θυμιαμάτων ἐπινηθέντος. ἐκ δὲ τοῦ τελευταίου καὶ βραχυτάτου κατασκευάσματος, ὥσπερ ἀπό τινος ἐπάλξεως, ἀετὸς ἀφίεται, 11 σὺν τῷ πυρὶ ἀνελευσόμενος εἰς τὸν αἰθέρα, ὃς φέρειν ἀπὸ γῆς ἐς οὐρανὸν τὴν τοῦ βασιλέως ψυχὴν πιστεύεται ὑπὸ Ῥωμαίων· καὶ ἐξ ἐκείνου μετὰ τῶν λοιπῶν θεῶν θρησκεύεται.

III. Ταύτην δὲ τὴν τιμὴν ἐκθειάσαντες οἱ 1 παῖδες τὸν πατέρα, ἐπανῆλθον εἰς τὰ βασίλεια. ἐξ ἐκείνου δὲ ἐστασίαζον πρὸς ἀλλήλους, ἐμίσουν τε καὶ ἐπεβούλευον· πάντα τε ἔπραττεν ἑκάτερος, πειρώμενος τὸν ἀδελφὸν ἀποσκευάσασθαι, εἰς αὑτόν τε μόνον περιαγαγεῖν τὴν ἀρχήν. ἐμερίζοντο δὲ καὶ 2 πάντων αἱ γνῶμαι, ὅσοι ἐν ἀξιώσει ἢ τιμῇ τινὶ ἦσαν κατὰ τὴν πόλιν. ἰδίᾳ γὰρ αὐτῶν ἑκάτερος ἐπέστελλέ τε λανθάνων καὶ ᾠκειοῦτο, μεγάλαις ὑποσχέσεσι πρὸς αὑτὸν ἀνθέλκων. καὶ τό γε πλεῖστον μέρος εἰς τὸν Γέταν ἔβλεπε· φαντασίαν γάρ τινα ἐπιεικείας ἐπεδείκνυτο, μέτριόν τε καὶ πρᾷον ἑαυτὸν τοῖς προσιοῦσι παρεῖχεν. ἐπιτηδεύμασί τε σπουδαιοτέροις 3 ἐχρῆτο, προσιέμενός τε τοὺς ἐπὶ παιδείᾳ ἐπαινουμένους, ἐσπουδακώς τε περὶ παλαίστραν καὶ γυμνάσια ἐλεύθερα. χρηστός τε ὢν καὶ φιλάνθρωπος τοῖς συνοῦσι, φήμῃ καὶ δόξῃ ἀρίστῃ πλείους εἰς εὔνοιαν καὶ φιλίαν προὐκαλεῖτο. ὁ δ' Ἀντωνῖνος ἐμβριθῶς τὰ πάντα καὶ θυμοειδῶς ἔπραττε. πολὺ δὲ ἀπάγων 4 ἑαυτὸν τῶν προειρημένων, στρατιωτικοῦ τε καὶ πολεμικοῦ βίου ἐραστὴς εἶναι προσεποιεῖτο· ὀργῇ τε πάντα πράττων, καὶ ἀπειλῶν μᾶλλον ἢ πείθων, φόβῳ καὶ οὐκ εὐνοίᾳ φίλους ἐκτᾶτο.

Ὡς στασιάζοντας δὲ τοὺς ἀδελφοὺς ἐν ἅπασιν
οἷς ἔπραττον, μέχρι τῶν εὐτελεστάτων ἔργων, ἡ
5 μήτηρ συνάγειν ἐπειρᾶτο. καί ποτε ἔδοξεν αὐτοῖς,
ἵνα δὴ μὴ, μένοντες ἐν τῇ Ῥώμῃ, ἀλλήλοις ἐπιβου-
λεύοιεν, νείμασθαι τὴν ἀρχήν. συναγαγόντες δὴ
τοὺς πατρῴους φίλους, τῆς τε μητρὸς παρούσης,
ἠξίουν διαιρεθῆναι τὴν βασιλείαν· καὶ τὰ μὲν ὑπ'
Εὐρώπην πάντα ἔχειν τὸν Ἀντωνῖνον, τὴν δὲ ἀν-
τικειμένην ἤπειρον, Ἀσίαν τε καλουμένην, πᾶσαν
6 Γέτᾳ παραδοθῆναι. οὕτω γὰρ ἔλεγον, καὶ θείᾳ τινὶ
προνοίᾳ τὰς ἠπείρους διῃρῆσθαι τῷ Προποντίδος
ῥεύματι. ἤρεσκε δὲ, τὸν μὲν Ἀντωνῖνον ἐπὶ τῷ
Βυζαντίῳ ἱδρῦσαι στρατόπεδον, τὸν δὲ Γέταν ἐν
Καλχηδόνι τῆς Βιθυνίας· ὡς ἀντικείμενα ἀλλήλοις
τὰ στρατόπεδα φρουροίη τε τὴν ἑκατέρου ἀρχὴν, καὶ
κωλύοι τὰς διαβάσεις. ἐδόκει τε, τῆς συγκλήτου
Βουλῆς τοὺς μὲν Εὐρωπαίους πάντας ὑπομεῖναι, τοὺς
7 δὲ ἐκεῖθεν ἀπελθεῖν σὺν τῷ Γέτᾳ. τῇ τε βασιλείᾳ
τῇ αὐτοῦ αὐτάρκη ἔσεσθαι ὑποδοχὴν ὁ Γέτας ἔλε-
γεν ἢ τὴν Ἀντιόχειαν, ἢ τὴν Ἀλεξάνδρειαν, οὐ
πολύ τι τῆς Ῥώμης, ὡς ᾤετο, μεγέθει ἀπολειπού-
σας· τῶν δὲ ὑπὸ μεσημβρίᾳ ἐθνῶν Μαυρουσίους
μὲν καὶ Νομάδας, Λιβύης τε τὰ παρακείμενα, Ἀν-
τωνίνῳ παραδοθῆναι· τὰ δὲ ἐπέκεινα μέχρις ἀνα-
τολῆς προσήκειν τῷ Γέτᾳ.
8 Ταῦτα δὴ αὐτῶν διατυπούντων, οἱ μὲν ἄλλοι
πάντες σκυθρωποῖς προσώποις ἐς γῆν ἔνευσαν· ἡ
δὲ Ἰουλία, „Γῆν μὲν, ἔφη, καὶ θάλασσαν, ὦ
τέκνα, εὑρίσκετε ὅπως νείμησθε, καὶ τὰς ἠπείρους,
ὥς φατε, τὸ πόντιον ῥεῖθρον διαιρεῖ· τὴν δὲ μη-
τέρα πῶς ἂν διέλοισθε; καὶ πῶς ἡ ἀθλία ἐγὼ εἰς
ἑκάτερον ὑμῶν νεμηθείην ἢ τμηθείην; πρῶτον δὴ
ἐμὲ φονεύσατε, καὶ διελόντες ἑκάτερος παρ' ἑαυτῷ
τὸ μέρος θαπτέτω. οὕτω γὰρ ἂν μετὰ γῆς καὶ θα-
9 λάττης εἰς ὑμᾶς μερισθείην." ταῦτα δὲ λέγουσα με-
τὰ δακρύων καὶ οἰμωγῆς, ἀμφοτέροις τε τὰς χεῖρας
περιβάλλουσα, καὶ ὑπὸ τὰς ἀγκάλας ἄγουσα, συνά-
γειν ἐπειρᾶτο. πάντας δὲ οἴκτου καταλαβόντος, διε-

λύθη τὸ συνέδριον, ἥ τε σκέψις ἀπεδοκιμάσθη· ἑκάτερός τε εἰς τὰ ἑαυτοῦ βασίλεια ἀνεχώρησε.

IV. Τὸ δὲ μῖσος καὶ ἡ στάσις ηὔξετο. εἴτε 1
γὰρ ἡγεμόνας ἢ ἄρχοντας ἔδει ποιεῖν, ἑκάτερος τὸν ἑαυτοῦ φίλον προάγειν ἤθελεν· εἴτε δικάζοιεν, τὰ ἐναντία ἐφρόνουν, ἐπ' ὀλέθρῳ τῶν δικαζομένων ἔσθ' ὅτε· πλέον γὰρ ἦν παρ' αὐτοῖς τοῦ δικαίου τὸ φιλόνεικον. ἔν τε θεάμασι περὶ τὰ ἐναντία ἐσπούδαζον. πάντα τε εἴδη ἐπιβουλῆς ἐξήρτυον, οἰνοχόους 2
τε καὶ ὀψοποιοὺς ἀνέπειθον ἐμβαλεῖν δηλητήρια φάρμακα. οὐ ῥᾳδίως δὲ αὐτῶν οὐδετέρῳ προεχώρει, ἐπειδὴ μετὰ πολλῆς ἐπιμελείας καὶ φρουρᾶς διητῶντο. τέλος δὲ, μὴ φέρων ὁ Ἀντωνῖνος, ἀλλ' ὑπὸ τῆς περὶ τὴν μοναρχίαν ἐπιθυμίας ἐλαυνόμενος, διέγνω δρᾶσαί τι ἢ παθεῖν γενναῖον, διὰ ξίφους χωρήσας καὶ φόνου. μὴ προχωρούσης γὰρ τῆς λανθανούσης 3
ἐπιβουλῆς, ἀναγκαίαν ἡγήσατο τὴν κινδυνώδη τε καὶ ἀπεγνωσμένην . . . τῆς μὲν διὰ στοργήν, τοῦ δὲ δι' ἐπιβουλήν.

Γέτας μὲν δὴ τρωθεὶς καιρίως, προσχέας τὸ αἷμα τοῖς τῆς μητρὸς στήθεσι, μετήλλαξε τὸν βίον. ὁ δ' Ἀντωνῖνος, κατεργασθέντος αὐτῷ τοῦ φόνου, προπηδᾷ τοῦ δωματίου θέων. φερόμενός τε δι' ὅλων 4
τῶν βασιλείων, ἐβόα μέγαν κίνδυνον ἐκπεφευγέναι, μόλις τε σωθῆναι· τούς τε στρατιώτας, οἳ φρουροῦσι τὰ βασίλεια, κελεύει αὐτὸν ἁρπάσαντας ἀπάγειν εἰς τὸ στρατόπεδον, ὡς ἂν σωθῇ ἐκεῖ φυλαχθείς. μείνας γὰρ ἐπὶ τῆς βασιλείου αὐλῆς, ἔλεγεν ἀπολεῖσθαι. πιστεύσαντές τε ἐκεῖνοι, τό τε πεπραγμένον ἔνδον οὐκ εἰδότες, θέοντι αὐτῷ καὶ φερομένῳ συνεξέδραμον πάντες. ταραχή τε κατεῖχε τὸν δῆμον, ὁρῶντα περὶ δείλην διὰ μέσης φερόμενον τῆς πόλεως δρόμῳ τὸν βασιλέα. ὡς δὲ ἐξέπεσεν εἰς τὸ στρατό- 5
πεδον, ἔς τε τὸν νεών, ἔνθα τὰ σημεῖα καὶ τὰ ἀγάλματα τοῦ στρατοπέδου προσκυνεῖται, ῥίψας ἑαυτὸν εἰς γῆν, ὡμολόγει τε χαριστήρια, ἔθυέ τε σωτήρια. ὡς δὲ διηγγέλη τοῦτο τοῖς στρατιώταις, ὧν οἱ μὲν ἤδη περὶ λουτρὰ εἶχον, οἱ δὲ ἀνεπαύοντο,

Ὡς στασιάζοντας δὲ τοὺς ἀδελφοὺς ἐν ἅπασιν
οἷς ἔπραττον, μέχρι τῶν εὐτελεστάτων ἔργων, ἡ
5 μήτηρ συνάγειν ἐπειρᾶτο. καί ποτε ἔδοξεν αὐτοῖς,
ἵνα δὴ μὴ, μένοντες ἐν τῇ Ῥώμῃ, ἀλλήλοις ἐπιβου-
λεύοιεν, νείμασθαι τὴν ἀρχήν. συναγαγόντες δὴ
τοὺς πατρῴους φίλους, τῆς τε μητρὸς παρούσης,
ἠξίουν διαιρεθῆναι τὴν βασιλείαν· καὶ τὰ μὲν ὑπ'
Εὐρώπην πάντα ἔχειν τὸν Ἀντωνῖνον, τὴν δὲ ἀν-
τικειμένην ἤπειρον, Ἀσίαν τε καλουμένην, πᾶσαν
6 Γέτᾳ παραδοθῆναι. οὕτω γὰρ ἔλεγον, καὶ θείᾳ τινὶ
προνοίᾳ τὰς ἠπείρους διῃρῆσθαι τῷ Προποντίδος
ῥεύματι. ἤρεσκε δὲ, τὸν μὲν Ἀντωνῖνον ἐπὶ τῷ
Βυζαντίῳ ἱδρῦσαι στρατόπεδον, τὸν δὲ Γέταν ἐν
Καλχηδόνι τῆς Βιθυνίας· ὡς ἀντικείμενα ἀλλήλοις
τὰ στρατόπεδα φρουροίη τε τὴν ἑκατέρου ἀρχὴν, καὶ
κωλύοι τὰς διαβάσεις. ἐδόκει τε, τῆς συγκλήτου
Βουλῆς τοὺς μὲν Εὐρωπαίους πάντας ὑπομεῖναι, τοὺς
7 δὲ ἐκεῖθεν ἀπελθεῖν σὺν τῷ Γέτᾳ. τῇ τε βασιλείᾳ
τῇ αὐτοῦ αὐτάρκη ἔσεσθαι ὑποδοχὴν ὁ Γέτας ἔλε-
γεν ἢ τὴν Ἀντιόχειαν, ἢ τὴν Ἀλεξάνδρειαν, οὐ
πολύ τι τῆς Ῥώμης, ὡς ᾤετο, μεγέθει ἀπολειπού-
σας· τῶν δὲ ὑπὸ μεσημβρίᾳ ἐθνῶν Μαυρουσίους
μὲν καὶ Νομάδας, Λιβύης τε τὰ παρακείμενα, Ἀν-
τωνίνῳ παραδοθῆναι· τὰ δὲ ἐπέκεινα μέχρις ἀνα-
τολῆς προσήκειν τῷ Γέτᾳ.
8 Ταῦτα δὴ αὐτῶν διατυπούντων, οἱ μὲν ἄλλοι
πάντες σκυθρωποῖς προσώποις ἐς γῆν ἔνευσαν· ἡ
δὲ Ἰουλία, „Γῆν μὲν, ἔφη, καὶ θάλασσαν, ὦ
τέκνα, εὑρίσκετε ὅπως νείμησθε, καὶ τὰς ἠπείρους,
ὥς φατε, τὸ πόντιον ῥεῖθρον διαιρεῖ· τὴν δὲ μη-
τέρα πῶς ἂν διέλοισθε; καὶ πῶς ἡ ἀθλία ἐγὼ εἰς
ἑκάτερον ὑμῶν νεμηθείην ἢ τμηθείην; πρῶτον δὴ
ἐμὲ φονεύσατε, καὶ διελόντες ἕκατερος παρ' ἑαυτῷ
τὸ μέρος θαπτέτω. οὕτω γὰρ ἂν μετὰ γῆς καὶ θα-
9 λάττης εἰς ὑμᾶς μερισθείην.“ ταῦτα δὲ λέγουσα με-
τὰ δακρύων καὶ οἰμωγῆς, ἀμφοτέροις τε τὰς χεῖρας
περιβάλλουσα, καὶ ὑπὸ τὰς ἀγκάλας ἄγουσα, συνά-
γειν ἐπειρᾶτο. πάντας δὲ οἴκτου καταλαβόντος, διε-

λύθη τὸ συνέδριον, ἥ τε σκέψις ἀπεδοκιμάσθη·
ἑκάτερός τε εἰς τὰ ἑαυτοῦ βασίλεια ἀνεχώρησε.

IV. Τὸ δὲ μῖσος καὶ ἡ στάσις ηὔξετο. εἴτε 1
γὰρ ἡγεμόνας ἢ ἄρχοντας ἔδει ποιεῖν, ἑκάτερος τὸν
ἑαυτοῦ φίλον προάγειν ἤθελεν· εἴτε δικάζοιεν, τὰ
ἐναντία ἐφρόνουν, ἐπ' ὀλέθρῳ τῶν δικαζομένων ἔσθ'
ὅτε· πλέον γὰρ ἦν παρ' αὐτοῖς τοῦ δικαίου τὸ φι-
λόνεικον. ἔν τε θεάμασι περὶ τὰ ἐναντία ἐσπούδα-
ζον. πάντα τε εἴδη ἐπιβουλῆς ἐξήρτυον, οἰνοχόους 2
τε καὶ ὀψοποιοὺς ἀνέπειθον ἐμβαλεῖν δηλητήρια
φάρμακα. οὐ ῥαδίως δὲ αὐτῶν οὐδετέρῳ προεχώρει,
ἐπειδὴ μετὰ πολλῆς ἐπιμελείας καὶ φρουρᾶς διητῶντο.
τέλος δὲ, μὴ φέρων ὁ Ἀντωνῖνος, ἀλλ' ὑπὸ τῆς
περὶ τὴν μοναρχίαν ἐπιθυμίας ἐλαυνόμενος, διέγνω
δρᾶσαί τι ἢ παθεῖν γενναῖον, διὰ ξίφους χωρήσας
καὶ φόνου. μὴ προχωρούσης γὰρ τῆς λανθανούσης 3
ἐπιβουλῆς, ἀναγκαίαν ἡγήσατο τὴν κινδυνώδη τε
καὶ ἀπεγνωσμένην . . . τῆς μὲν διὰ στοργήν, τοῦ
δὲ δι' ἐπιβουλήν.

Γέτας μὲν δὴ τρωθεὶς καιρίως, προσχέας τὸ
αἷμα τοῖς τῆς μητρὸς στήθεσι, μετήλλαξε τὸν βίον.
ὁ δ' Ἀντωνῖνος, κατεργασθέντος αὐτῷ τοῦ φόνου,
προπηδᾷ τοῦ δωματίου θέων. φερόμενός τε δι' ὅλων 4
τῶν βασιλείων, ἐβόα μέγαν κίνδυνον ἐκπεφευγέναι,
μόλις τε σωθῆναι· τούς τε στρατιώτας, οἳ φρου-
ροῦσι τὰ βασίλεια, κελεύει αὐτὸν ἁρπάσαντας ἀπά-
γειν εἰς τὸ στρατόπεδον, ὡς ἂν σωθῇ ἐκεῖ φυλαχθείς.
μείνας γὰρ ἐπὶ τῆς βασιλείου αὐλῆς, ἔλεγεν ἀπολεῖ-
σθαι. πιστεύσαντές τε ἐκεῖνοι, τό τε πεπραγμένον
ἔνδον οὐκ εἰδότες, θέοντι αὐτῷ καὶ φερομένῳ συν-
εξέδραμον πάντες. ταραχή τε κατεῖχε τὸν δῆμον,
ὁρῶντα περὶ δείλην διὰ μέσης φερόμενον τῆς πόλεως
δρόμῳ τὸν βασιλέα. ὡς δὲ ἐσέπεσεν εἰς τὸ στρατό- 5
πεδον, ἔς τε τὸν νεὼν, ἔνθα τὰ σημεῖα καὶ τὰ
ἀγάλματα τοῦ στρατοπέδου προσκυνεῖται, ῥίψας ἑαυ-
τὸν εἰς γῆν, ὡμολόγει τε χαριστήρια, ἔθυέ τε σω-
τήρια. ὡς δὲ διηγγέλη τοῦτο τοῖς στρατιώταις, ὧν
οἱ μὲν ἤδη περὶ λουτρὰ εἶχον, οἱ δὲ ἀνεπαύοντο,

6 πάντες ἐκπλαγέντες συνέθεον. ὁ δὲ προελθὼν, τὸ μὲν πραχθὲν εὐθέως οὐχ ὡμολόγησεν, ἐβόα δὲ πεφευγέναι κίνδυνον, καὶ ἐπιβουλὴν πολεμίου καὶ ἐχθροῦ, (τὸν ἀδελφὸν λέγων,) μόλις τε καὶ μετὰ πολλῆς μάχης τῶν ἐχθρῶν κεκρατηκέναι· κινδυνευσάντων δὲ ἀμφοτέρων, κἂν ἕνα ἑαυτὸν βασιλέα τετηρῆσθαι ὑπὸ τῆς τύχης. τοιαῦτα δή τινα πλαγίως ἐμφαίνων, νοεῖσθαι μᾶλλον ἐβούλετο τὰ πραχθέντα ἢ
7 ἀκούεσθαι. ὑπισχνεῖται δὲ αὐτοῖς ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας καὶ μοναρχίας, ἑκάστῳ μὲν στρατιώτῃ δισχιλίας καὶ πεντακοσίας δραχμὰς Ἀττικάς· προστίθησι δὲ τῷ σιτηρεσίῳ ἄλλο τοῦ τελουμένου ἥμισυ. κελεύει τε ἀπελθόντας αὐτοὺς ἤδη, ὑποδέχεσθαι ἔκ τε τῶν ναῶν καὶ τῶν θησαυρῶν τὰ χρήματα· μιᾶς τε ἡμέρας ἀφειδῶς ἐκχέας πάντα, ὅσα ἔτεσιν ὀκτωκαίδεκα ὁ Σεβῆρος ἤθροισέ τε καὶ κατέκλεισεν ἐξ
8 ἀλλοτρίων συμφορῶν. οἱ δὲ στρατιῶται, τοσοῦτον χρημάτων πλῆθος ἀκούσαντες, καὶ συνέντες τὸ πεπραγμένον, ἤδη τε καὶ τοῦ φόνου διαβοήτου γενομένου ὑπὸ τῶν ἔνδοθεν φευγόντων, μόνον τε Αὐτοκράτορα ἀναγορεύουσιν αὐτόν, καὶ τὸν Γέταν καλοῦσι πολέμιον.

1 V. Ἐπιμείνας δὲ ὁ Ἀντωνῖνος τῆς νυκτὸς ἐκείνης ἐν τῷ νεῷ τοῦ στρατοπέδου, θαῤῥήσας τε καὶ ταῖς ἐπιδόσεσιν οἰκειωσάμενος τοὺς στρατιώτας, εἰς τὴν Σύγκλητον κατῆλθε μετὰ παντὸς τοῦ στρατοῦ, ὡπλισμένου μᾶλλον ἢ ἔθος ἐστὶ βασιλέα προπέμπειν. εἰςελθὼν δὲ καὶ θύσας, τοῦ τε βασιλείου
2 ἐπιβὰς θρόνου, ἔλεξε τοιάδε· „Οὐκ ἀγνοῶ μὲν, ὅτι πᾶς οἰκείου φόνος εὐθέως ἀκουσθεὶς μεμίσηται, τό τε ὄνομα, ταῖς ἀκοαῖς ἅμα τῷ προςπεσεῖν, εὐθὺς φέρει χαλεπὴν διαβολήν. τοῖς μὲν γὰρ δυστυχήσασιν ἔλεος, τοῖς δὲ κρατήσασι φθόνος παρακολουθεῖ· καὶ τὸ μὲν ἡττηθὲν ἐν τοῖς τοιούτοις ἀδι-
3 κεῖσθαε, τὸ δὲ νικῆσαν ἀδικεῖν δοκεῖ. πλὴν εἴ τις ὀρθῇ κρίσει, καὶ μὴ διαθέσει τῇ πρὸς τὸν πεσόντα, τὸ πεπραγμένον λογίζοιτο, τήν τε αἰτίαν αὐτοῦ καὶ τὴν ὑπόθεσιν ἐξετάζοι, εὕροι ἂν ὁμοῦ καὶ εὔλογον

καὶ ἀναγκαῖον, τὸν μέλλοντα πείσεσθαι δεινὸν ἀμύ-
νασθαι μᾶλλον ἢ ὑπομεῖναι. τῇ μὲν γὰρ συμφορᾷ
τοῦ πεσόντος καὶ ἀνανδρίας ψόγος παρακολουθεῖ·
ὁ δὲ κρατήσας, ἅμα τῷ σεσῶσθαι, καὶ δόξαν ἀν-
δρείας ἀπηνέγκατο. τὰ μὲν οὖν ἄλλα, ὅσα διὰ δη- 4
λητηρίων φαρμάκων καὶ διὰ πάσης ἐνέδρας ἐπεβού-
λευσέ μοι, ἔνεστιν ὑμῖν καὶ διὰ βασάνων χωρήσασι
μαθεῖν. καὶ γὰρ διὰ τοῦτο τοὺς ἐκείνου [ἐν τοῖς
ὑπηρέταις] ἐκέλευσα παρεῖναι, ὅπως εὕρητε τὴν ἀλή-
θειαν. εἰσὶ δέ τινες αὐτῶν καὶ ἤδη ἐξετασθέντες·
καὶ τῆς ἐξετάσεως ἐπακοῦσαι δύνασθε. τὸ δ᾽ οὖν
τελευταῖον, ἐπῆλθέ μοι παρὰ τῇ μητρὶ ὄντι, ξιφή-
ρεις ἔχων τινὰς ἐς τοῦτο παρεσκευασμένους. ὅπερ 5
ἐγὼ προμηθείᾳ πολλῇ καὶ ἀγχινοίᾳ συνείς, ἠμυνά-
μην ὡς πολέμιον· ἐπεὶ μήτε γνώμην ἔτι μήτε ὁρ-
μὴν ἔφερεν ἀδελφοῦ. ἀμύνεσθαί τε [αὖ] τοὺς ἐπι-
βουλεύοντας, οὐ μόνον δίκαιον, ἀλλὰ καὶ σύνηθες.
αὐτὸς γοῦν ὁ τῆσδε τῆς πόλεως κτίστης, Ῥωμύλος,
οὐκ ἤνεγκεν ἀδελφὸν ὑβρίσαντα μόνον εἰς τὰ ἐκείνου
ἔργα. σιγῶ Γερμανικὸν τὸν Νέρωνος, καὶ Τίτον 6
τὸν Δομετιανοῦ. Μάρκος αὐτός, φιλοσοφίαν καὶ
ἐπιείκειαν προσποιούμενος, Λουκίου τὴν ὕβριν οὐκ
ἤνεγκεν ὄντος γαμβροῦ, ἀλλ᾽ ἐξ ἐπιβουλῆς αὐτὸν
ἀπεσείσατο. ἐγὼ δέ, δηλητηρίων παρεσκευασμένων,
ξίφους ἐπηωρημένου, τὸν ἐχθρὸν ἠμυνάμην· τοῦτο
γὰρ αὐτῷ τοὔνομα ἐδίδου τὰ ἔργα. ὑμᾶς δὲ χρὴ 7
πρῶτον μὲν θεοῖς εἰδέναι χάριν, ὅτι κἂν τὸν ἕτερον
ὑμῖν τῶν βασιλέων ἔσωσαν· παύσασθαι δὲ ἤδη τὰς
ψυχὰς καὶ τὰς γνώμας διῃρημένους, εἰς ἕνα δὲ βλέ-
ποντας, ἀμερίμνως βιοῦν. βασιλείαν δὲ ὁ Ζεύς,
ὥσπερ αὐτὸς ἔχει μόνος θεῶν, οὕτω καὶ ἀνθρώπων
ἑνὶ δίδωσι.“ τοιαῦτα εἰπὼν μεγάλῃ βοῇ, θυμοῦ
πεπληρωμένος, βλέμματι δριμεῖ ἀφορῶν εἰς τοὺς
ἐκείνου φίλους, τρέμοντάς τε καὶ ὠχριῶντας τοὺς
πλείστους καταλιπών, εἰς τὰ βασίλεια ἀνέδραμεν.

VI. Εὐθὺς δὲ πάντες ἐφονεύοντο οἱ ἐκείνου 1
οἰκεῖοί τε καὶ φίλοι, καὶ οἱ ὄντες ἐν τοῖς βασιλείοις,
ἔνθα ἐκεῖνος ᾤκει· ὑπηρέται τε πάντες ἀνῃροῦντο·

οὐδέ τις ἦν φειδὼ ἡλικίας, οὔτε μέχρι νηπίων. τὰ δὲ πτώματα, φερόμενα μεθ᾽ ὕβρεως πάσης, ἁμάξαις ἐπιτεθέντα, ἔξω τῆς πόλεως κομισθέντα, σωρηδὸν
2 κατεπίμπρατο, ἢ ὅπως δὴ ἐῤῥίπτετο. οὐδεὶς δὲ περιεγένετο τῶν κἂν μετρίως ἐκείνῳ γνωσθέντων. ἀθληταὶ δὲ καὶ ἡνίοχοι, ὑποκριταί τε πάσης μούσης καὶ ὀρχήσεως, πᾶν τε ὅπερ ἐκεῖνος δι᾽ ἡδονῆς ἔσχε θέαμα ἢ ἄκουσμα, διεφθείρετο. τῆς τε συγκλήτου Βουλῆς ὅσοι γένει ἢ πλούτῳ ὑπερεῖχον, ἐπὶ βραχυτάταις ἢ οὐδ᾽ ὑφεστώσαις αἰτίαις, ἐκ τῆς τυχούσης
3 διαβολῆς, ὡς ἐκείνου φίλοι, ἀνῃροῦντο. τήν τε Κομμόδου ἀδελφὴν, πρεσβῦτιν ἤδη, καὶ πρὸς πάντων βασιλέων ὡς Μάρκου θυγατέρα τετιμημένην, ἀπέκτεινεν· αἰτίαν ἐπαγαγὼν, ὡς δακρυσάσῃ παρὰ τῇ μητρὶ αὐτοῦ ἐπὶ τῷ παιδὸς φόνῳ. τήν τε γυναῖκα γενομένην ἑαυτοῦ, Πλαυτιανοῦ θυγατέρα, οὖσαν δὲ ἐν Σικελίᾳ, τόν τε ἀνεψιὸν αὐτοῦ, Σεβήρῳ τε ὁμώνυμον, καὶ τὸν Περτίνακος υἱόν, τῆς τε Κομμόδου ἀδελφῆς Λουκίλλης υἱόν, καὶ εἴ τι γένος ἦν βασιλικόν, ἢ ἐν Συγκλήτῳ ἐξ εὐπατριδῶν κατα-
4 βαῖνον, πᾶν ἐξέκοψεν. εἴς τε τὰ ἔθνη πέμπων, ἡγεμόνας τε καὶ ἐπιτρόπους, ὡς ἐκείνου φίλους, πάντας διεχρήσατο. πᾶσά τε νὺξ ἔφερε φόνους παντοδαπῶν ἀνθρώπων. τάς τε τῆς Ἑστίας ἱερείας ζώσας κατώρυττεν, ὡς μὴ φυλαττούσας τὴν παρθενίαν. τὸ δὲ τελευταῖον καὶ μήποτε γενόμενον ἔργον· ἱπποδρομίαν μὲν ἐθεᾶτο, ἀπέσκωψε δέ τι τὸ πλῆθος εἰς τὸν ἡνίοχον, περὶ ὃν ἐκεῖνος ἐσπουδάκει· ὁ δὲ, οἰηθεὶς αὐτὸς ὑβρίσθαι, κελεύει τῷ πλήθει προςπεσεῖν τὸ στράτευμα, ἀπάγειν τε καὶ φονεύειν
5 τοὺς κακῶς τὸν ἡνίοχον εἰπόντας. οἱ δὲ στρατιῶται, τοῦ βιάζεσθαί τε καὶ ἁρπάζειν λαβόντες ἐξουσίαν, οὐκέτι διεκρίνοντο, τίνες ἦσαν οἱ προπετέστερον φθεγξάμενοι· (καὶ γὰρ ἦν εὑρίσκειν ἀδύνατον, ἐν δήμῳ τοσούτῳ, μηδενὸς ὁμολογοῦντος·) ἀφειδῶς τοὺς ἐντυγχάνοντας ἀπάγοντες ἀνῄρουν, ἢ ἀφαιρούμενοι ἅπερ εἶχον, ὥςπερ λύτρα, μόλις ἐφείδοντο.

VII. Τοιαῦτα δὴ πράττων, ὑπό τε τῆς τῶν 1
ἔργων συνέσεως ἐλαυνόμενος, καὶ πρὸς τὴν ἐν τῇ
πόλει διατριβὴν ἀπεχθῶς ἔχων, ἀποδημῆσαι τῆς
Ῥώμης ἠθέλησεν, ὡς δὴ διοικήσων τὰ ἐν τοῖς
στρατοπέδοις, καὶ τὰ ἔθνη ἐποψόμενος. ἀπάρας 2
δὲ τῆς Ἰταλίας, ἐπί τε ταῖς ὄχθαις τοῦ Ἴστρου γε-
νόμενος, διῴκει δὴ τὰ ἀρκτῷα τῆς ἀρχῆς μέρη, γυ-
μνάσια τοῦ σώματος ποιούμενος ἡνιοχείας, καὶ θη-
ρίων παντοδαπῶν συσταδὸν ἀναιρέσεις· δικάζων μὲν
σπανίως, πλὴν νοῆσαι τὸ κρινόμενον εὐφυὴς ἦν,
εὐθίκτως τε πρὸς τὰ λεχθέντα ἀποκρίνασθαι. ᾠκειώ- 3
σατο δὲ καὶ πάντας τοὺς ἐπέκεινα Γερμανούς, ἔς τε
φιλίαν ὑπηγάγετο, ὡς καὶ συμμάχους παρ' αὐτῶν
λαβεῖν, καὶ τοῦ σώματος ἑαυτοῦ φρουροὺς ποιήσα-
σθαι, γενναίους τε καὶ ὡραίους ἐπιλεξάμενος. πολ-
λάκις δὲ καὶ τὴν Ῥωμαϊκὴν ἀποθέμενος χλαμύδα,
ἠμφιέννυτο τὰ Γερμανῶν περιβλήματα· ἔν τε χλα-
μύσιν, αἷς εἰώθασιν, ἀργύρῳ πεποικιλμέναις, ἑω-
ρᾶτο· κόμας τε τῇ κεφαλῇ ἐπετίθετο ξανθάς, καὶ
εἰς κουρὰν τῶν Γερμανῶν ἠσκημένας. τούτοις δὴ 4
χαίροντες οἱ Βάρβαροι, ὑπερηγάπων αὐτόν. ἔχαι-
ρον δὲ αὐτῷ καὶ οἱ Ῥωμαίων στρατιῶται, μάλιστα
μὲν διὰ τὰς τῶν χρημάτων ἐπιδόσεις, αἷς ἀφειδῶς
προςεφέρετο αὐτοῖς, ὅτι τε πᾶν ὡς στρατιώτης
ἔπραττεν, εἴτε ὄρυγμά τι ὀρύττειν ἔδει, σκάπτων
πρῶτος, εἴτε ῥεῖθρον γεφυρῶσαι, ἢ βάθος χῶσαι·
πᾶν θ', ὃ χειρῶν ἢ καμάτου σώματος ἔργον, πρῶ-
τος εἰργάζετο. τράπεζάν τε εὐτελῆ παρετίθετο, ἔσθ' 5
ὅπῃ καὶ ξυλίνοις ἐς ποτὸν καὶ ἐδέσματα χρώμενος
σκεύεσιν. ἄρτον τε προςεφέρετο αὐτοσχέδιον· σῖτον
γὰρ ἀλήσας τῇ ἑαυτοῦ χειρὶ, ὃ ἤρκει μόνῳ, μᾶζάν
τε ποιήσας, καὶ ἐπ' ἀνθράκων ὀπτήσας, ἐσιτεῖτο.
καὶ πάντων μὲν τῶν πολυτελῶν ἀπείχετο· ὅσα δὲ 6
εὐτελέστατα, καὶ τοῖς πενεστάτοις τῶν στρατιωτῶν
εὐμαρῆ, τούτοις ἐχρῆτο. συστρατιώτης τε ὑπ' αὐ-
τῶν μᾶλλον ἢ βασιλεὺς καλούμενος, χαίρειν προς-
εποιεῖτο. τὰ πλεῖστά τε αὐτοῖς συνώδευε περιπατῶν,
σπανίως ἅρματος ἢ ἵππου ἐπιβαίνων, τά τε ὅπλα

7 βαστάζων ἑαυτῷ. ἔστι δ' ὅτε καὶ τὰ τῶν στρατοπέδων σύμβολα, ἐπιμήκη ὄντα καὶ χρυσοῖς ἀναθήμασι πολλοῖς κεκοσμημένα, μόλις ὑπὸ τῶν γενναιοτάτων στρατιωτῶν φερόμενα, ἐπιθεὶς τοῖς ὤμοις ἔφερεν αὐτός. διὰ δὴ ταῦτα καὶ τὰ τούτοις ὅμοια ὡς στρατιωτικὸς ὑπ' αὐτῶν ἐφιλεῖτο, καὶ ὡς γενναῖος ἐθαυμάζετο. καὶ γὰρ ἦν θαύματος ἄξιον, ἐν μικρῷ πάνυ τὸ μέγεθος σώματι, γενναίων πόνων ἄσκησις τοσαύτη.

1 VIII. Ἐπεὶ δὲ τὰ παρὰ τῷ Ἴστρῳ στρατόπεδα διῴκησε, κατῆλθέ τε εἰς Θρᾴκην, Μακεδόσι γειτνιῶσαν, εὐθὺς Ἀλέξανδρος ἦν. καὶ τήν τε μνήμην αὐτοῦ παντοίως ἀνενεώσατο, εἰκόνας τε καὶ ἀνδριάντας ἐν πάσαις πόλεσιν ἀναστῆναι ἐκέλευσε. τήν τε Ῥώμην ἐπλήρωσεν ἀνδριάντων καὶ εἰκόνων, ἐν τῷ Καπετωλίῳ καὶ ἐν ἄλλοις ἱεροῖς, τῆς πρὸς Ἀλέξαν-
2 δρον συναφείας. ἔσθ' ὅπου δὲ καὶ χλεύης εἴδομεν ἀξίας εἰκόνας ἐν γραφαῖς, ἑνὸς σώματος, ὑπὸ περιφερείᾳ κεφαλῆς μιᾶς, ὄψεις ἡμιτόμους δύο, Ἀλεξάνδρου τε καὶ Ἀντωνίνου. προῄει δὲ αὐτὸς ἐν Μακεδονικῷ σχήματι, καυσίαν τε ἐπὶ τὴν κεφαλὴν φέρων, καὶ κρηπῖδας ὑποδούμενος. ἐπιλεξάμενός τε νεανίας καὶ στρατεύσας, Μακεδονικὴν ἐκάλει φάλαγγα, τούς τε ἡγουμένους αὐτῆς φέρειν τὰ τῶν ἐκεί-
3 νου στρατηγῶν ὀνόματα. ἀπό τε Σπάρτης μεταπεμψάμενος νεανίας, Λακωνικὸν καὶ Πιτανάτην ἐκάλει λόχον.

Ταῦτα δὲ ποιήσας, τά τε ἐν ταῖς πόλεσι διοικήσας, ὡς ἐνεδέχετο, ἠπείχθη εἰς Πέργαμον τῆς Ἀσίας, χρήσασθαι βουλόμενος θεραπείαις τοῦ Ἀσκληπιοῦ. ἀφικόμενος δὴ ἐκεῖ, καὶ ἐς ὅσον ἤθελε τῶν
4 ὀνειράτων ἐμφορηθείς, ἧκεν εἰς Ἴλιον. ἐπελθὼν δὲ πάντα τὰ τῆς πόλεως λείψανα, ἧκεν ἐπὶ τὸν Ἀχιλλέως τάφον· στεφάνοις τε κοσμήσας καὶ ἄνθεσι πολυτελῶς, πάλιν Ἀχιλλέα ἐμιμεῖτο. ζητῶν τε καὶ Πάτροκλόν τινα, ἐποίησε τι τοιοῦτον. ἦν αὐτῷ τις τῶν ἀπελευθέρων φίλτατος, Φῆστος μὲν ὄνομα, τῆς δὲ βασιλείου μνήμης προεστώς. οὗτος, ὄντος

αὐτοῦ ἐν Ἰλίῳ, ἐτελεύτησεν, ὡς μέν τινες ἔλεγον,
φαρμάκῳ ἀναιρεθείς, ἵν᾽ ὡς Πάτροκλος ταφῇ· ὡς
δὲ ἕτεροι ἔφασκον, νόσῳ διαφθαρείς. τοῦτον κο- 5
μισθῆναι κελεύει τὸν νέκυν, ξύλων τε πολλῶν ἀθροι-
σθῆναι πυράν· ἐπιθείς τε αὐτὸν ἐν μέσῳ, καὶ
παντοδαπὰ ζῶα κατασφάξας, ὑφῆψέ τε, καὶ φιάλην
λαβών, σπένδων τε τοῖς ἀνέμοις, εὔχετο. πάνυ τε
ὢν ψιλοκόρσης, πλόκαμον ἐπιθεῖναι τῷ πυρὶ ζητῶν,
ἐγελᾶτο· πλὴν ὧν εἶχε τριχῶν, ἀπεκείρατο. ἐπῄ- 6
νει δὲ καὶ στρατηγῶν μάλιστα Σύλλαν τε τὸν Ῥω-
μαῖον καὶ Ἀννίβαν τὸν Λίβυν· ἀνδριάντας τε αὐ-
τῶν καὶ εἰκόνας ἀνέστησεν.

Ἀπάρας δὲ τῆς Ἰλίου, διά τε τῆς ἄλλης Ἀσίας
καὶ Βιθυνίας, τῶν τε λοιπῶν ἐθνῶν, κἀκεῖσε διοι-
κήσας τὰ πρακτέα, εἰς τὴν Ἀντιόχειαν ἀφίκετο.
ἐκεῖ τε ὑποδεχθεὶς πολυτελῶς, καὶ διατρίψας χρό-
νου τινός, ἐπὶ τὴν Ἀλεξάνδρειαν ἐστέλλετο· πρό-
φασιν μὲν ποιούμενος, ποθεῖν τὴν ἐπ᾽ Ἀλεξάνδρῳ
κτισθεῖσαν πόλιν, καὶ τῷ θεῷ χρήσασθαι, ὃν ἐκεῖ-
νοι σέβουσιν ἐξαιρέτως. δύο γὰρ ταῦτα ὑπερβαλ- 7
λόντως προσεποιεῖτο, τήν τε τοῦ θεοῦ θρησκείαν,
καὶ τὴν τοῦ ἥρωος μνήμην. ἑκατόμβας τε οὖν κε-
λεύει παρασκευασθῆναι, ἐναγισμούς τε παντοδαπούς.
ὡς δὲ διηγγέλη τῷ τῶν Ἀλεξανδρέων πλήθει, φύσει
μὲν ὄντι τὰς γνώμας κουφοτάτῳ, καὶ ἐπὶ τοῖς βρα-
χυτάτοις ῥᾷστα κινουμένῳ, τότε δ᾽ ἐξεπτόηντο, τὴν
τοῦ βασιλέως σπουδήν τε καὶ εὔνοιαν πυνθανόμενοι.
ὑποδοχὴ δὲ παρεσκευάζετο, οἵαν μηδενὶ πώποτε βα- 8
σιλεῖ γενέσθαι φασί. πάσης τε γὰρ μούσης ὄργανα,
πανταχοῦ διακείμενα, ποικίλον ἦχον εἰργάζετο· ἀρω-
μάτων τε παντοδαπῶν καὶ θυμιαμάτων ἀτμίδες εὐω-
δίαν παρεῖχον ταῖς εἰσόδοις· δᾳδουχίαις τε καὶ ἀν-
θέων βολαῖς ἐτίμων τὸν βασιλέα. ὡς δὲ εἰσήλασεν 9
εἰς τὴν πόλιν σὺν παντὶ τῷ στρατῷ, πρῶτον εἰς
τὸν νεὼν ἀνελθών, πολλὰς ἑκατόμβας κατέθυσε,
λιβάνῳ τε τοὺς βωμοὺς ἐσώρευσεν. ἐκεῖθεν δ᾽ ἐλ-
θὼν εἰς τὸ Ἀλεξάνδρου μνῆμα, τήν τε χλαμύδα ἣν
ἔφερεν ἁλουργῆ, δακτυλίους τε οὓς εἶχε λίθων τι-

μίων, ζωστῆράς τε καὶ εἴ τι πολυτελὲς ἔφερε, πε-
ριελὼν ἑαυτοῦ, ἐπέθηκε τῇ ἐκείνου σορῷ.
1 IX. Ἃ δὴ ὁρῶν ὁ δῆμος, ὑπερέχαιρε, παν-
νυχίζων τε καὶ ἑορτάζων, οὐκ εἰδὼς τὴν τοῦ βασι-
λέως λανθάνουσαν γνώμην. ταῦτα γὰρ πάντα ἐκεῖ-
νος ὑπεκρίνατο, βουλόμενος τὸ πλῆθος αὐτῶν δια-
φθεῖραι. ἡ δ' αἰτία τοῦ λανθάνοντος μίσους τοιάδε
2 τις ἦν. ἀπηγγέλλετο αὐτῷ, διατρίβοντι ἐπὶ τῆς
Ῥώμης ἔτι, καὶ τοῦ ἀδελφοῦ περιόντος, καὶ μετὰ
τὸν ἐκείνου φόνον, ὅτι ἄρα εἶεν πολλὰ εἰς αὐτὸν
ἀποσκώψαντες. πεφύκασι δέ πως εἶναι φιλοσκώμ-
μονες, καὶ λέγειν εὐστόχως ὑπογραφὰς ἢ παιδιάς·
ἀποῤῥιπτοῦντες εἰς τοὺς ὑπερέχοντας πολλὰ χαρίεν-
τα μὲν αὐτοῖς δοκοῦντα, λυπηρὰ δὲ τοῖς σκωφθεῖσι.
τῶν γὰρ τοιούτων κνίζει μάλιστα, ὅσα ἐλέγχει τῶν
3 ἁμαρτημάτων τὴν ἀλήθειαν. πολλὰ τοίνυν αὐτὸν
ἐκείνων σκωψάντων, ἔς τε τὴν τοῦ ἀδελφοῦ ἀναί-
ρεσιν, καὶ τὴν πρεσβῦτιν Ἰοκάστην καλούντων,
ἐκεῖνον δὲ χλευαζόντων, ὅτι δὴ μικρὸς ὢν Ἀλέξαν-
δρον καὶ Ἀχιλλέα, γενναιοτάτους καὶ μεγίστους
ἥρωας, ἐμιμεῖτο· τοιαῦτά τινα παίζειν αὐτῶν δο-
κούντων, ὀλέθρια καὶ ἐπίβουλα κατ' αὐτῶν σκέψα-
σθαι τὸν Ἀντωνῖνον ἠνάγκασαν, φύσει ὄντα ὀργί-
λον καὶ φονικώτατον.
4 Συμπανηγυρίσας τοίνυν αὐτοῖς καὶ συνεορτάσας,
ὡς εἶδε πᾶσαν τὴν πόλιν πλήθους μεγίστου πεπλη-
ρωμένην τῶν ἀπὸ πάσης περὶ αὐτὴν χώρας ἐκεῖ συν-
ελθόντων, διὰ προγράμματος πᾶσαν τὴν νεολαίαν
εἴς τι πεδίον κελεύει συνελθεῖν, φήσας εἰς τὴν Ἀλε-
ξάνδρου τιμὴν φάλαγγα βούλεσθαι συστήσασθαι,
ὥσπερ Μακεδονικὴν καὶ Σπαρτιᾶτιν, οὕτω καὶ τοῦ
5 ἥρωος ἐπωνύμους. κελεύει δὴ στιχηδὸν τοὺς νεανίας
πάντας διαστῆναι, ὡς ἂν ἐπελθὼν ἕκαστον ἴδῃ, πῶς
τε ἡλικίας ἔχοι καὶ μεγέθους σώματος καὶ εὐεξίας
εἰς στρατείαν ἐπιτηδείου. ταύταις αὐτοῦ ταῖς ὑπο-
σχέσεσι πιστεύσαντες οἱ νεανίαι πάντες, ἐοικότα τε
ἐλπίσαντες διὰ τὴν προϋπάρξασαν παρ' αὐτοῦ ἐς τὴν
πόλιν τιμήν, συνῆλθον ἅμα γονεῦσί τε καὶ ἀδελφοῖς,

συνηδομένοις αὐτῶν ταῖς ἐλπίσιν. ὁ δ' Ἀντωνῖνος 6
διεστῶτας αὐτοὺς ἐπιὼν, ἑκάστου ἐφαπτόμενος, καὶ
ἄλλο ἄλλου λέγων ἐγκώμιον, παρῄει· ἔστ' αὐ-
τοὺς, οὔτε τι ὁρῶντας, οὔτε προσδοκῶντας, τὸ
στρατιωτικὸν πᾶν ἐκυκλώσατο. ὡς δὲ ἐτεκμήρατο,
ἤδη αὐτοὺς εἶναι ἐντὸς τῶν ὅπλων περιειλημμένους,
καὶ ὥσπερ ἐν δικτύοις σεσαγηνευμένους, ἐπελθὼν
πάντας, αὐτὸς μὲν ὑπεξέρχεται μεθ' ἧς εἶχε φρου-
ρᾶς περὶ ἑαυτόν· ὑφ' ἑνὶ δὲ σημείῳ προσπεσόντες
πανταχόθεν οἱ στρατιῶται, τὴν ἐν μέσῳ πᾶσαν νεο-
λαίαν, καὶ εἴ τινες ἄλλως παρῆσαν, παντὶ τρόπῳ
φόνων ἀναιροῦσιν, ὡπλισμένοι τε ἀόπλους καὶ παν-
ταχόθεν περιειληφότες. τῶν δὲ στρατιωτῶν οἱ μὲν 7
ἐφόνευον ἔξωθεν, οἱ δ' ὤρυττον ὀρύγματα μέγιστα,
ἕλκοντές τε τοὺς ἐμπίπτοντας ἐνέβαλλον, πληροῦν-
τες σωμάτων· καὶ τὴν γῆν ἐπιχέοντες, μέγιστον
ἤγειρον ταχέως πολυάνδριον. πολλοί τε καὶ ἡμιθνῆ-
τες εἱλκύσθησαν, ἔτι τε ἄτρωτοι συνεχώσθησαν·
ἀλλὰ μὴν καὶ τῶν στρατιωτῶν οὐκ ὀλίγοι προς-
απώλλυντο. ὅσοι γὰρ ἔτι ἐμπνέοντες καὶ δυνάμεως 8
μετρίως ἔχοντες συνωθοῦντο, περιπλεκόμενοι συγ-
καθεῖλκον αὐτούς. τοσοῦτος δὲ ἐγένετο φόνος, ὡς
ῥείθροις αἵματος διὰ τοῦ πεδίου τάς τε ἐκβολὰς τοῦ
Νείλου μεγίστας οὔσας, τόν τε περὶ τὴν πόλιν αἰ-
γιαλὸν πάντα φοινιχθῆναι. τοιαῦτα δὴ ἐργασάμενος
τὴν πόλιν, ἀπάρας εἰς Ἀντιόχειαν ἀφίκετο.

X. Ἐπιθυμήσας δὲ μετ' οὐ πολὺ Παρθικὸς 1
κληθῆναι, καὶ Ῥωμαίοις ἐπιστεῖλαι ὡς χειρωσάμε-
νος τοὺς κατὰ τὴν ἀνατολὴν Βαρβάρους, καίτοι γε
οὔσης εἰρήνης βαθείας, μηχανᾶται τοιόνδε τι. ἐπι-
στέλλει τῷ βασιλεῖ Παρθυαίων, (Ἀρτάβανος δ' ἦν
ὄνομα αὐτῷ,) πέμπει τε πρεσβείαν, καὶ δῶρα πά-
σης ὕλης τε πολυτελοῦς καὶ τέχνης ποικίλης. τὰ δὲ 2
γράμματα ἔλεγεν, ὅτι δὴ βούλεται ἀγαγέσθαι αὐτοῦ
τὴν θυγατέρα πρὸς γάμον. ἁρμόζειν δὲ αὐτῷ, βα-
σιλεῖ τε καὶ βασιλέως υἱῷ, μὴ ἰδιώτου τινὸς καὶ
εὐτελοῦς γαμβρὸν γενέσθαι, ἀγαγέσθαι δὲ βασιλίδα
τε καὶ βασιλέως μεγάλου θυγατέρα. δύο δὴ ταύτας

ἀρχὰς εἶναι μεγίστας, τήν τε Ῥωμαίων καὶ τὴν
Παρθυαίων· ἃς συναχθείσας κατ᾽ ἐπιγαμίαν, μηκ-
έτι ποταμῷ διωρισμένας, μίαν ποιήσειν ἀρχὴν
3 ἀνανταγώνιστον. τὰ γὰρ λοιπὰ βάρβαρα ἔθνη, ὅσα
μὴ ὑπὸ ταῖς τούτων βασιλείαις, εὐάλωτα ἔσεσθαι
αὐτοῖς, κατὰ τὰ ἔθνη καὶ κατὰ τὰ συστήματα
ἀρχόμενα. εἶναι δὲ Ῥωμαίοις μὲν πεζὸν στρατὸν
καὶ τὴν διὰ δοράτων συστάδην μάχην ἀνανταγώνι-
στον, Παρθυαίοις δὲ ἵππον τε πολλήν, καὶ τὴν διὰ
4 τόξων εὔστοχον ἐμπειρίαν. ταῦτα δὴ συνελθόντα,
πάντων τε, οἷς πόλεμος κατορθοῦται, συμπνεόντων,
ῥᾳδίως αὐτοὺς ὑφ᾽ ἑνὶ διαδήματι βασιλεύσειν πάσης
οἰκουμένης. τά τε παρ᾽ ἐκείνοις φυόμενα ἀρώματα,
ἢ θαυμαζόμενα ὑφάσματα, ἢ παρὰ Ῥωμαίοις με-
ταλλευόμενα, ἢ διὰ τέχνην ἐπαινούμενα, μηκέτι μό-
λις καὶ σπανίζοντα λανθάνοντά τε δι᾽ ἐμπόρων κο-
μισθήσεσθαι· μιᾶς δὲ γῆς οὔσης καὶ μιᾶς ἐξουσίας,
κοινὴν καὶ ἀκώλυτον ἀμφοτέροις τὴν ἀπόλαυσιν
ἔσεσθαι.

5 Τοιούτοις αὐτοῦ γράμμασιν ἐντυχὼν ὁ Παρ-
θυαῖος, τὰ μὲν πρῶτα ἀντέλεγε, φάσκων, οὐχ
ἁρμόζειν Ῥωμαίῳ γάμον βάρβαρον. τίνα γὰρ ἔσε-
σθαι συμφωνίαν ἐν αὐτοῖς, μήτε τῆς ἀλλήλων φω-
νῆς συνιεῖσιν, ἔν τε διαίτῃ καὶ σκευῇ διαφέρουσιν
ἀλλήλων; εἶναι δὲ παρὰ Ῥωμαίοις εὐπατρίδας πολ-
λούς, ὧν τινὸς ἐπιλέξασθαι δύναιτ᾽ ἂν θυγατέρα,
παρά τε αὐτῷ Ἀρσακίδας· καὶ μὴ δεῖν μηδέτερον
γένος νοθεύεσθαι.

1 XI. Τὰ μὲν οὖν πρῶτα, τοιαῦτα ἐπιστέλλων,
παρῃτεῖτο. ἐγκειμένου δὲ τοῦ Ἀντωνίνου, δώροις
τε πολλοῖς καὶ ὅρκοις τὴν πρὸς τὸν γάμον σπουδήν
τε καὶ εὔνοιαν πιστουμένου, πείθεται ὁ Βάρβαρος,
καὶ δώσειν τε ὑπισχνεῖται, καλεῖ τε γαμβρὸν ἐσόμε-
νον. διαδραμούσης δὲ τῆς φήμης, οἱ μὲν Βάρβαροι
εὐτρέπιζον πάντα εἰς τὴν ὑποδοχὴν τοῦ Ῥωμαίων
2 βασιλέως, ἔχαιρόν τε εἰρήνης αἰωνίου ἐλπίδι. ὁ δ᾽
Ἀντωνῖνος, διαβὰς τοὺς ποταμοὺς ἀκωλύτως, εἰς-
ελάσας εἰς τὴν Παρθυαίων γῆν, ὡς ἰδίαν ἤδη,

πανταχοῦ θυσιῶν αὐτῷ προσαγομένων, βωμῶν τε
ἐστεμμένων, ἀρωμάτων καὶ θυμιαμάτων παντοίων
προσφερομένων, χαίρειν τοῖς γινομένοις ὑπὸ τῶν
Βαρβάρων προσεποιεῖτο. ὡς δὲ προχωρήσας, τό τε
πλεῖστον τῆς ὁδοιπορίας ἀνύσας, ἤδη τοῖς βασιλείοις
τοῦ Ἀρταβάνου ἐπλησίαζεν, οὐκ ἀναμείνας ὁ Ἀρ-
τάβανος ὑπήντετο αὐτῷ ἐν τῷ πρὸ τῆς πόλεως πε-
δίῳ, δεξιούμενος νυμφίον μὲν τῆς θυγατρός, γαμ-
βρὸν δὲ αὑτοῦ. πᾶν δὲ τὸ πλῆθος τῶν Βαρβάρων, 3
ἄνθεσι τοῖς ἐπιχωρίοις κατεστεμμένον, ἐσθῆτι [τε]
χρυσῷ καὶ βαφαῖς διαφόροις πεποικιλμένον, ἑώρτα-
ζε· πρός τε αὐλοὺς καὶ σύριγγας τυμπάνων τε
ἤχους ἐσκίρτων εὐρύθμως. χαίρουσι γὰρ τοιαύτην
τινὰ ὄρχησιν κινούμενοι, ἐπὰν οἴνου πλείονος ἐμ-
φορηθῶσιν. ὡς δὲ πᾶν συνῆλθε τὸ πλῆθος, τῶν 4
τε ἵππων ἀπέβησαν, φαρέτρας τε καὶ τόξα ἀποθέ-
μενοι, περὶ σπονδὰς καὶ κύλικας εἶχον. πλεῖστον
δὲ πλῆθος τῶν Βαρβάρων ἤθροιστο, καὶ ὡς ἔτυ-
χεν ἀτάκτως εἱστήκεσαν, οὐδὲν μὲν ἄτοπον προσ-
δοκῶντες, σπεύδων δὲ ἕκαστος ἰδεῖν τὸν νυμφίον.
τότε ὑφ᾽ ἑνὶ σημείῳ κελεύει ὁ Ἀντωνῖνος τῷ ἰδίῳ 5
στρατῷ ἐπιδραμεῖν, καὶ φονεύειν τοὺς Βαρβάρους.
ἐκπλαγέντες δὲ τῷ πράγματι, παιόμενοί τε καὶ τι-
τρωσκόμενοι ἐτράποντο. αὐτός τε Ἀρτάβανος, ἁρ-
παγεὶς ὑπὸ τῶν περὶ αὐτὸν δορυφόρων, ἵππῳ τε
ἐπιτεθείς, ἀπέδρα μόλις μετ᾽ ὀλίγων. τὸ δὲ λοιπὸν 6
πλῆθος ἐκόπτετο τῶν Βαρβάρων, οὔτε τοὺς ἵππους
ἐχόντων, οἷς χρῶνται μάλιστα, (ἀποβεβηκότες γὰρ
εἱστήκεσαν, ἀνέντες ἐκείνους νέμεσθαι,) οὔτε δρό-
μῳ χρήσασθαι δυναμένων πρὸς φυγήν, ἐμποδιζού-
σης αὐτοὺς τῆς περὶ τοῖς ποσὶ χαύνου ἐσθῆτος·
φαρέτρας δὲ καὶ τόξα οὐκ εἶχον· τί γὰρ ἔχρῃζον
αὐτῶν πρὸς γάμους; πολὺν δὲ ἐργασάμενος ὁ Ἀν- 7
τωνῖνος φόνον τῶν Βαρβάρων, λείαν τε καὶ αἰχμα-
λώτους παμπληθεῖς συλλαβών, ἀπῄει, μηδενὸς αὐ-
τῷ ἀνθεστῶτος· κώμας τε καὶ πόλεις ἐμπιπρᾶν
δοὺς ἐξουσίαν τοῖς στρατιώταις, ἁρπάζειν τε ἕκα-
στον, ὃ δύναται καὶ ὃ βούλεται αὐτός, κτήσασθαι.

8 *Τοιούτῳ μὲν δὴ πάθει ἐχρήσαντο οἱ Βάρβαροι οὐ προσδοκηθέντι. ὁ δὲ Ἀντωνῖνος, ἐπὶ πολὺ τῆς Παρθυαίων γῆς ἐλάσας, ἤδη καὶ τῶν στρατιωτῶν κεκμηκότων ἐν αὐτῷ τῷ ἁρπάζειν καὶ φονεύειν, ἐπανῆλθεν εἰς τὴν Μεσοποταμίαν. ἐκεῖ δὲ γενόμενος, ἐπιστέλλει τῇ τε Συγκλήτῳ καὶ τῷ Ῥωμαίων δήμῳ, πᾶσαν ἀνατολὴν κεχειρῶσθαι, καὶ τῆς ἐπέ-
9 κεινα βασιλείας πάντας αὐτῷ παρακεχωρηκέναι. ἡ δὲ Σύγκλητος, οὐκ ἀγνοοῦντες μὲν τὰ πεπραγμένα, (λαθεῖν γὰρ ἔργα βασιλέως ἀδύνατον,) πλὴν δέει καὶ κολακείᾳ ψηφίζονται αὐτῷ πάσας τιμὰς ἐπινικίους. διέτριβε δὲ μετὰ ταῦτα ἐν τῇ Μεσοποταμίᾳ ὁ Ἀντωνῖνος, ἡνιοχείαις σχολάζων, καὶ θηρία παντοδαπὰ ἀναιρῶν.*

1 XII. *Ἦσαν δὲ αὐτῷ ἐπάρχοντες τοῦ στρατοπέδου δύο· ὁ μὲν, πρεσβύτης πάνυ, τὰ μὲν ἄλλα ἰδιώτης καὶ πολιτικῶν πραγμάτων ἀπείρως ἔχων, στρατιωτικὸς δὲ γεγενῆσθαι δοκῶν· Ἄδουεντος ὄνομα αὐτῷ· ὁ δὲ ἕτερος Μακρῖνος μὲν ἐκαλεῖτο, τῶν δὲ ἐν ἀγορᾷ οὐκ ἀπείρως εἶχε, καὶ μάλιστα νόμων ἐπιστήμης. εἰς τοῦτον οὖν, ὡς μηδὲ στρατιωτικὸν, μηδὲ γενναῖον, δημοσίᾳ πολλάκις ἀπέσκωπτε, καὶ
2 μέχρις αἰσχρᾶς βλασφημίας. ἐπεὶ γὰρ ἤκουεν αὐτὸν καὶ διαίτῃ ἐλευθερίῳ χρώμενον, καὶ τὰ φαῦλα καὶ ἀπεῤῥιμμένα τῶν ἐδεσμάτων καὶ ποτῶν μυσαττόμενον, οἷς ὡς στρατιωτικὸς δὴ ὁ Ἀντωνῖνος ἔχαιρε, χλαμύδιον ἤ τινα ἄλλην ἐσθῆτα ἀμφιεσάμενον ἀστειοτέραν, εἰς ἀνανδρίαν καὶ θήλειαν νόσον διέβαλλεν, ἀεί τε ἀποκτενεῖν ἠπείλει. ἅπερ οὐ φέρων ὁ Μακρῖνος, πάνυ ἤσχαλλε.*

3 *Συνέβη δέ τι καὶ τοιοῦτον· ἔδει γὰρ ἄρα τέλος λαβεῖν τὸν Ἀντωνίνου βίον. περιεργότερος γὰρ ὢν, οὐ μόνον τὰ ἀνθρώπων πάντα εἰδέναι ἤθελεν, ἀλλὰ καὶ τὰ θεῖά τε καὶ δαιμόνια πολυπραγμονεῖν. ἀεί τε πάντας ὑπώπτευεν, ὡς ἐπιβουλεύοντας, χρηστηρίων τε πάντων ἐνεφορεῖτο, τούς τε πανταχόθεν μάγους καὶ ἀστρονόμους τε καὶ θύτας μετεπέμπετο· καὶ οὐδεὶς αὐτὸν ἐλάνθανε τῶν τὴν γοητείαν ταύ-*

την ὑπισχνουμένων. ὑποπτεύων δ' αὐτοὺς ὡς οὐ 4
τἀληθῆ αὐτῷ, ἀλλὰ πρὸς κολακείαν θεσπίζοντας,
ἐπιστέλλει Ματερνιανῷ τινὶ, τότε πάσας ὑπ' αὐτοῦ
ἐν Ῥώμῃ πράξεις ἐγκεχειρισμένῳ, πιστοτάτῳ εἶναι
δοκοῦντι φίλων, καὶ μόνῳ κοινωνῷ τῶν ἀποῤῥήτων·
κελεύει δὲ αὐτῷ, μάγων τοὺς ἀρίστους ζητήσαντι,
νεκυίᾳ τε χρησάμενον, μαθεῖν περὶ τοῦ τέλους τοῦ
βίου αὐτοῦ, καὶ μή τις ἄρα ἐπιβουλεύοι τῇ ἀρχῇ.
Ὁ δὲ Ματερνιανὸς χρησάμενος ἀδεῶς τοῖς ὑπὸ 5
τοῦ βασιλέως κελευσθεῖσιν, εἴτε ὄντως αὐτῷ δαιμό-
νων ταῦτα θεσπισάντων, εἴτε ἄλλως συσκευαζόμε-
νος τὸν Μακρῖνον, ἐπιστέλλει τῷ Ἀντωνίνῳ, ἐπι-
βουλεύειν τῇ ἀρχῇ τὸν Μακρῖνον, καὶ δεῖν αὐτὸν
ἀποσκευάσασθαι. ταῦτα τὰ γράμματα ἀποσημηνά- 6
μενος μετὰ καὶ ἑτέρων ἐπιστολῶν κατὰ τὸ ἔθος, δί-
δωσι τοῖς διακομίζουσιν, οὐκ εἰδόσιν ἃ φέρουσι. τῷ
δὲ συνήθει τάχει τῆς ὁδοιπορίας ἐκεῖνοι χρησάμενοι,
ἐφίστανται τῷ Ἀντωνίνῳ· ἤδη τε σκευὴν ἡνιόχου
ἀνειληφότι, καὶ τοῦ ἅρματος ἐπιβαίνοντι, προσκο-
μίζουσι πάντα τὸν σύνδεσμον τῶν ἐπιστολῶν· ἐν
αἷς ἦν καὶ τὰ κατὰ [τοῦ] Μακρίνου γράμματα. ὁ 7
δ' Ἀντωνῖνος, τὴν ὁρμὴν ἤδη καὶ τὴν γνώμην περὶ
τὴν ἱπποδρομίαν ἔχων, κελεύει τῷ Μακρίνῳ, ἀπο-
στάντι καὶ ἰδιάσαντι, ἐντυχεῖν τοῖς γράμμασι, καὶ,
εἴ τι ἐπεῖγον εἴη, δηλῶσαι αὐτῷ, εἰ δὲ μὴ, τὰ ἐξ
ἔθους αὐτὸν διοικῆσαι, ὡς ἔπαρχον. πολλάκις δὲ
τοῦτο κελεύειν ἦν σύνηθες αὐτῷ. καὶ ὁ μὲν, ταῦτα
προστάξας, εἴχετο τοῦ προκειμένου. ὁ δὲ Μακρῖ- 8
νος, καθ' αὑτὸν γενόμενος, τάς τε ἄλλας ἐπιλύεται
ἐπιστολάς· περιτυχὼν δὲ καὶ τῇ καθ' αὑτοῦ θανα-
τηφόρῳ, ὁρᾷ προὖπτον κίνδυνον ἐπικείμενον. εἰδώς
τε τοῦ Ἀντωνίνου τὸν θυμὸν καὶ τὸ φονικὸν ἐπὶ
τοιοῖσδε γράμμασι, καὶ πρόφασιν αὐτῷ εὔλογον ὑπάρ-
ξουσαν, τὴν μὲν ἐπιστολὴν ὑφαιρεῖται, περὶ δὲ τῶν
λοιπῶν ἀπαγγέλλει, ὡς εἶεν συνήθεις.
XIII. Φοβηθεὶς δὲ, μὴ καὶ δεύτερον ταῦτα 1
ὁ Ματερνιανὸς ἐπιστείλῃ, δρᾶσαί τι μᾶλλον ἠθέλη-
σεν, ἢ ἀναμείνας παθεῖν. τολμᾷ δή τι τοιοῦτο. ἦν

τις ἑκατοντάρχης, (Μαρτιάλιος δὲ ὄνομα αὐτῷ,) τῶν σωματοφυλάκων τοῦ Ἀντωνίνου, ἀεὶ παρεπόμενος αὐτῷ. τούτου τὸν ἀδελφὸν πρὸ ὀλίγων ἡμερῶν ἀνῃρήκει, διαβληθέντα μέν, οὐκ ἐλεγχθέντα δέ· αὐτῷ τε τῷ Μαρτιαλίῳ ἐνύβρισεν, ἄνανδρον
2 αὐτὸν καὶ ἀγεννῆ καλῶν καὶ Μακρίνου φίλον. τοῦτον ἐπιστάμενος ὁ Μακρῖνος ἀλγοῦντά τε σφοδρῶς ἐπὶ τῇ τοῦ ἀδελφοῦ ἀναιρέσει, μὴ φέροντά τε τὰς εἰς αὐτὸν ὕβρεις, μεταπέμπεται. ἐθάῤῥει δὲ αὐτῷ, θεραπεύοντί τε αὐτὸν ἄνωθεν, καὶ πολλὰ ὑπ᾽ αὐτοῦ εὐεργετηθέντι· πείθει τε, καιρὸν ἐπιτήδειον παραφυλάξαντα, ἐπιβουλεῦσαι τῷ Ἀντωνίνῳ. ὁ δὲ, ταῖς τε ὑποσχέσεσι τοῦ Μακρίνου ἀναπεισθείς, μισῶν τε ἄλλως, καὶ τιμωρῆσαι θέλων τῷ ἀδελφῷ, πάντα ποιήσειν ἀσμένως ὑπισχνεῖται, καιρὸν ἐπιτήδειον εὑρών.

3 Συνέβη δὲ μετ᾽ οὐ πολὺ τῆς σκέψεως ταύτης, θελῆσαι τὸν Ἀντωνῖνον, διατρίβοντα ἐν Κάῤῥαις τῆς Μεσοποταμίας, προελθεῖν τῆς βασιλείας, ἀπελθεῖν τε εἰς τὸν νεὼν τῆς Σελήνης, ἣν μάλιστα οἱ ἐπιχώριοι σέβουσιν. ἀφειστήκει δὲ τῆς πόλεως ὁ νεὼς πολύ, ὡς ὁδοιπορίας χρῄζειν. σὺν ἱππεῦσιν οὖν ὀλίγοις, (ἵνα δὴ μὴ πάντα τὸν στρατὸν σκύλῃ,) τὴν ὁδοιπορίαν ἐποιεῖτο, ὡς δὴ θύσας τῇ θεῷ ἐπα-
4 νέλθοι. κατὰ δὲ τὴν μέσην ὁδὸν ἐπειχθεὶς ὑπὸ τῆς γαστρός, ἀποστῆναί τε πάντας κελεύσας, ἀνεχώρει σὺν ἑνὶ ὑπηρέτῃ, ἀποσκευασόμενος τὰ ἐνοχλοῦντα. πάντες τοίνυν ἀπεστράφησαν, καὶ ὡς ποῤῥωτάτω ἀπῄεσαν, τιμὴν καὶ αἰδῶ τῷ γιγνομένῳ νέμοντες.
5 ὁ δὲ Μαρτιάλιος, τοὺς καιροὺς πάντας παραφυλάττων, ἰδών τε αὐτὸν μεμονωμένον, ὡς δὴ κληθεὶς ὑπ᾽ αὐτοῦ νεύματι, ὁρῶν τι ἢ ἀκουσόμενος, προστρέχει· ἐπιστάς τε αὐτῷ, τὰς ἐσθῆτας τῶν μηρῶν καθέλκοντι, ἀπεστραμμένον παίει ξιφιδίῳ, ὃ μετὰ χεῖρας ἔφερε λανθάνων. καιρίου δὲ τῆς πληγῆς ἐπὶ τῆς κατακλεῖδος γενομένης, ἀπροσδοκήτως καὶ ἀφυλάκτως ὁ Ἀντωνῖνος ἀνῃρέθη.

Πεσόντος δὲ αὐτοῦ, πηδήσας ἵππῳ ἔφυγεν ὁ 6
Μαρτιάλιος. Γερμανοὶ δὲ ἱππεῖς, οἷς ὁ Ἀντωνῖνος
ἔχαιρε, φρουροῖς τε τοῦ σώματος ἐχρῆτο, οὐ το-
σοῦτον ἀφεστῶτες ἐς ὅσον οἱ λοιποὶ, πρῶτοί τε ἰδόν-
τες τὸ γενόμενον, διώξαντες τὸν Μαρτιάλιον, κα-
τηκόντισαν. ὡς δὲ καὶ ὁ λοιπὸς στρατὸς εἶδε τὸ 7
πραχθὲν, πάντες συνέδραμον· καὶ πρῶτος ὁ Μα-
κρῖνος, ἐπιστὰς τῷ πτώματι, ὀλοφύρεσθαί τε καὶ
θρηνεῖν προςεποιεῖτο. ὅ τε στρατὸς πᾶς χαλεπῶς
καὶ δυςφόρως ἤνεγκε τὸ πραχθέν· συστρατιώτην
γὰρ καὶ κοινωνὸν τοῦ βίου, ἀλλ᾽ οὐκ ἄρχοντα ᾤον-
το ἀποβεβληκέναι· καὶ οὐδεμίαν πω ἐπιβουλὴν
ὑπώπτευον ἐκ τοῦ Μακρίνου, ᾤοντο δὲ τὸν Μαρ-
τιάλιον οἰκείαν ἔχθραν ἀμύνασθαι. καὶ οἱ μὲν ἕκα- 8
στος εἰς τὰς σκηνὰς ἐπανῇσαν· ὁ δὲ Μακρῖνος,
πυρὶ παραδοὺς τὸ σωμάτιον, τήν τε κόνιν κάλπῃ
τινὶ ἐμβαλὼν, ἔπεμψε τῇ μητρὶ αὐτοῦ καταθάψαι,
ἐν Ἀντιοχείᾳ διατριβούσῃ. ἐκείνη δὲ ἐπὶ ταῖς τῶν
παίδων ὁμοίαις συμφοραῖς, εἴτε ἑκοῦσα, εἴτε κε-
λευσθεῖσα, ἀπεκαρτέρησε. τοιούτῳ μὲν δὴ τέλει
ἐχρήσατο ὁ Ἀντωνῖνος, καὶ ἡ μήτηρ Ἰουλία, βιώ-
σαντες ὡς προείρηται. πᾶς δὲ ὁ χρόνος, ἐν ᾧ μό-
νος ἐβασίλευσεν ἄνευ τοῦ πατρὸς καὶ τοῦ ἀδελφοῦ,
ἐν ἓξ ἔτεσι συνετελέσθη.

XIV. Τελευτήσαντος δὲ τοῦ Ἀντωνίνου, ἐν 1
ἀφασίᾳ τε ἦν ὁ στρατὸς καὶ ἀπορίᾳ τοῦ πρακτέου·
ἔμεινάν τε ἡμέρας δύο ἀβασίλευτοι, ἐζήτουν τε, ὃν
ἐπιλέξονται ἄρχοντα. καὶ γὰρ ἠγγέλλετο μετὰ πολ-
λοῦ πλήθους καὶ δυνάμεως ἐπιὼν Ἀρτάβανος, δίκας
ἀπαιτήσων, τιμωρήσων τε τοῖς ἐν σπονδαῖς καὶ εἰ-
ρήνῃ ἀνῃρημένοις. αἱροῦνται δὴ βασιλέα, πρῶτον 2
μὲν Ἄδουεντον, ὡς στρατιωτικόν τε καὶ ἔπαρχον
οὐ φαῦλον γενόμενον· ὁ δὲ γῆρας προϊσχόμενος
παρῃτήσατο· μετ᾽ ἐκεῖνον δὲ, τὸν Μακρῖνον, πει-
θόντων αὐτοὺς χιλιάρχων, οἳ καὶ τῆς ἐπιβουλῆς
τοῦ Ἀντωνίνου συνωμόται καὶ κοινωνοὶ τοῦ Μακρί-
νου γεγενῆσθαι ὑπωπτεύθησαν μετὰ τὴν ἐκείνου τε-
λευτὴν, ὡς ἐν τοῖς ἑξῆς ἐροῦμεν. παρέλαβε δὲ τὴν 3

βασιλείαν Μακρῖνος, οὐχ οὕτως εὐνοίᾳ καὶ πίστει τῶν στρατιωτῶν, ὡς ἀνάγκῃ καὶ χρείᾳ τοῦ παρόντος καιροῦ.

Τούτων δὲ πραττομένων, ἐφίσταται ὁ Ἀρτάβανος μετὰ μεγίστου πλήθους καὶ δυνάμεως, ἵππον τε πολλὴν ἄγων καὶ τοξοτῶν μέγα τι πλῆθος, καταφράκτους τε ἀπὸ καμήλων ἔξωθεν μακροῖς δόρα-
4 σιν. ὡς δ' ἀπηγγέλη προσιών, συγκαλέσας τοὺς στρατιώτας ὁ Μακρῖνος, ἔλεξε τοιάδε· „Ἀλγεῖν μὲν ὑμᾶς πάντας ἐπὶ τοιούτου βασιλέως, ἢ, ἵνα τἀληθῆ λέγοιμι, συστρατιώτου ἀποβολῇ, θαυμαστὸν οὐδέν. φέρειν δὲ τὰς συμφορὰς, καὶ τὰ προσπίπτοντα μετρίως ὑπομένειν, ἀνθρώπων ἔργον σωφρο-
5 νούντων. ἡ μὲν γὰρ ἐκείνου μνήμη ἔν τε τοῖς ὑμετέροις στέρνοις ἐγκείσεται, τοῖς τε εἰς ὕστερον παραδοθήσεται, καὶ δόξαν ἀΐδιον φέρουσα μεγάλων τε καὶ γενναίων ἔργων, ὧν ἔδρασε, φίλτρων τε καὶ εὐνοίας, καμάτων τε κοινωνίας τῆς πρὸς ὑμᾶς. νῦν δὲ καιρός, τιμήσαντας, ὡς χρή, τὴν μνήμην τοῦ τετελευτηκότος, ἀφοσιωσαμένους τε τὰ πρὸς ἐκεῖνον,
6 ἔχεσθαι τῶν ἐπειγόντων. ὁρᾶτε τὸν Βάρβαρον ἐφεστῶτα σὺν παντὶ τῷ τῆς ἀνατολῆς πλήθει, καὶ δοκοῦντα πρόφασιν εὔλογον ἔχειν ἔχθρας· ἡμεῖς γὰρ αὐτὸν προὐκαλεσάμεθα παρασπονδήσαντες, καὶ ἐν εἰρήνῃ βαθείᾳ πόλεμον ἠγείραμεν. ἤρτηται δὲ νῦν πᾶσα ἡ Ῥωμαίων ἀρχὴ τῆς ὑμετέρας ἀνδρείας τε καὶ πίστεως. οὐ γὰρ περὶ ὅρων γῆς, οὐδὲ ῥείθρων ποταμῶν ἡ φιλονεικία, περὶ τοῦ παντὸς δὲ, πρὸς μέγαν βασιλέα, ὑπὲρ παίδων καὶ συγγενῶν, οὓς ἐκεῖνος ἀδίκως καὶ παρὰ τοὺς ὅρκους οἴεται ἀνῃρῆ-
7 σθαι. τά τε οὖν ὅπλα λαμβάνωμεν, καὶ τῇ συνήθει Ῥωμαίοις εὐκοσμίᾳ ταττώμεθα. ἐν γὰρ ταῖς παρατάξεσι τὸ μὲν τῶν Βαρβάρων ἄτακτον πλῆθος καὶ προσκαίρως ὡρισμένον, αὐτὸ ἑαυτῷ ἴσως γένοιτ' ἂν ἐναντίον· τὸ δ' ὑμέτερον, εὔτακτόν τε ὂν καὶ συγκεκροτημένον, μετά τε ἐμπειρίας μαχόμενον, ὑμῖν τε ἔσται σωτήριον, κἀκείνοις ὀλέθριον. μετ' ἀγαθῆς οὖν τῆς ἐλπίδος ἀγωνίζεσθε, ὡς Ῥωμαίοις

πρέπει καὶ σύνηθες. οὕτω γὰρ τούς τε Βαρβάρους 8
ἀπώσεσθε ὑμεῖς, καὶ δόξης κλέος ἀράμενοι μέγα, Ῥωμαίοις τε καὶ πᾶσιν ἀνθρώποις δείξετε, τήν τε προτέραν νίκην πιστώσεσθε, ὡς μὴ δόλῳ καὶ ἀπάτῃ παρασπονδήσαντες ἠδικήσατε, ἀλλὰ δι' ὅπλων νικήσαντες ἐκρατήσατε."

Τοιαῦτά τινα εἰπόντος αὐτοῦ, οἱ στρατιῶται τὴν ἀνάγκην τοῦ πράγματος ὁρῶντες, παρετάττοντο κἂν τοῖς ὅπλοις ἦσαν.

XV. Ἅμα δὲ ἡλίῳ ἀνίσχοντι ἐφάνη Ἀρτάβα- 1
νος σὺν μεγίστῳ πλήθει στρατοῦ. ἀσπασάμενοι δὲ τὸν ἥλιον, ὡς ἔθος αὐτοῖς, οἱ Βάρβαροι, μεγίστῃ τε κλαγγῇ βοήσαντες, ἐπέδραμον τοῖς Ῥωμαίοις τοξεύοντές τε καὶ καθιππεύοντες. οἱ δὲ Ῥωμαῖοι, εὐτάκτως τε καὶ ἀσφαλῶς συστήσαντες τὰς φάλαγγας, ἑκατέρωθέν τε τοὺς ἱππεῖς καὶ τοὺς Μαυρουσίους παρατάξαντες, τά τε κενὰ πληρώσαντες τῶν κούφως καὶ εὐσταλῶς ἐκτρέχειν δυναμένων, δεξάμενοι τοὺς Βαρβάρους, ἐμάχοντο. καὶ οἱ μὲν Βάρ- 2
βαροι, τῷ πλήθει τῶν τόξων, τοῖς τε ἐπιμήκεσι δόρασι τῶν καταφράκτων, ἀπό τε ἵππων καὶ καμήλων τιτρώσκοντες αὐτούς, μεγάλως ἄνωθεν ἔβλαπτον. οἱ δὲ Ῥωμαῖοι τῶν μὲν συσταδὸν μαχομένων ῥαδίως ἐκράτουν· ἐπεὶ δὲ αὐτοὺς ἥ τε ἵππος πολλὴ οὖσα, καὶ τὸ τῶν καμήλων πλῆθος ἐλυμαίνετο, προσποιούμενοι ἀναχωρεῖν, τριβόλους τε καὶ πολλὰ ἄλλα τεχνάσματα σιδήρων, ὀξυτάτας ἐξοχὰς περικείμενα, ἔῤῥιπτον. παραλανθάνοντα δὲ ἐν ταῖς ψάμμοις, καὶ οὐ καθορώμενα ὑπὸ τῶν ἱππέων ἢ τῶν καμηλιτῶν, ὀλέθρια ἦν αὐτοῖς. πα- 3
τοῦντες γὰρ οἱ ἵπποι, αἵ τε κάμηλοι μάλιστα, ἔχουσαι ἁπαλὰ τὰ πέλματα, ὤκλαζον καὶ ἐχώλευον, τούς τε ἐπιβάτας οὓς ἔφερον ἀπεσείοντο. οἱ δὲ ἐπέκεινα Βάρβαροι, ἐς ὅσον μὲν ἐποχοῦνται ἵπποις ἢ καμήλοις, γενναίως μάχονται· ἢν δὲ ἀποβῶσιν αὐτῶν ἢ κατενεχθῶσι, ῥᾷστα ἁλίσκονται, μὴ φέροντες τὴν ἐκ συστάσεως μάχην· πρός τε τὸ φυγεῖν ἢ

διῶξαι, εἰ δέοι, ὑπὸ τῆς περὶ τοῖς σκέλεσιν ἐσθῆ-
τος χαύνως παρῃωρημένης ἐμποδίζονται.

4 Πρώτης μὲν οὖν καὶ δευτέρας πάσης ἡμέρας
ἐξ ἑωθινοῦ εἰς ἑσπέραν ἐμαχέσαντο· καὶ νὺξ ἐπελ-
θοῦσα διέλυσε τὰς μάχας, ἑκάτεροί τε ἐπανῆλθον
εἰς τὰ ἑαυτῶν στρατόπεδα, νικᾷν ἀξιοῦντες. τῇ δὲ
τρίτῃ ἡμέρᾳ συνῆλθον εἰς τὸ αὐτὸ πεδίον μαχούμε-
νοι. ἐπειρῶντο δὲ οἱ μὲν Βάρβαροι, πολύ τι τῷ
πλήθει τούτων ὑπερέχοντες, κυκλώσασθαι τοὺς Ῥω-
μαίους καὶ σαγηνεῦσαι. οἱ δὲ Ῥωμαῖοι οὐκέτι τὰς
φάλαγγας ἐς βάθος συνίστασαν, εἰς μῆκος δ' ἐκτεί-
5 νοντες, ἀεὶ τὸ κυκλούμενον ἐνεπόδιζον. πλῆθος δὲ
τοσοῦτον ἀνδρῶν τε καὶ κτηνῶν ἐφονεύθη, ὡς πᾶν
πληρωθῆναι τὸ πεδίον, μεγίστους τε σωροὺς πτω-
μάτων εἰς ὕψος ἀρθῆναι, καὶ μάλιστα τῶν καμή-
λων ἐπαλλήλων πιπτουσῶν. πρός τε οὖν τὸ δια-
τρέχειν ἐνεποδίζοντο οἱ μαχόμενοι· οὐκέτι δὲ οὐδὲ
καθεώρων ἀλλήλους, μεγάλου ὄντος τοῦ χώματος ἐν
μέσῳ, καὶ δυσβάτου ὑπὸ τῶν σωμάτων σεσωρευμέ-
νων· ὑφ' οὗ κωλυόμενοι τοῖς ἄλλοις ἐπιέναι, ἕκα-
στοι ἐπανῆλθον εἰς τὰ ἑαυτῶν στρατόπεδα.

6 Ὁ δὲ Μακρῖνος συνείς, ὅτι οὐκ ἄλλως Ἀρτά-
βανος ἐκθύμως τε μάχεται καὶ προσμένει, ἀλλ' ἢ οἰό-
μενος Ἀντωνίνῳ μάχεσθαι, εἰωθότων ἀεὶ τῶν Βαρ-
βάρων ῥᾷστα ἀποκάμνειν ἐθελοκακεῖν τε, εἰ μή τι
7 ἐν ταῖς πρώταις ὁρμαῖς κατορθώσουσι, τότε δὲ προσ-
μενόντων, ὡς ἂν τὴν μάχην ἀνανεώσαιντο, μετὰ
τὴν τῶν νεκρῶν ἀναίρεσίν τε καὶ κατάφλεξιν, οὐκ
οἰομένων τεθνηκέναι τὸν τῆς ἔχθρας αἴτιον, πέμ-
πει πρεσβείαν, ἐπιστέλλει τε τῷ Παρθυαίῳ, λέγων,
τὸν μὲν περὶ τὰς σπονδὰς καὶ τοὺς ὅρκους ἀδική-
σαντα βασιλέα τεθνηκέναι, δίκας τε ἀξίας ὧν ἔδρα-
σε δεδωκέναι, Ῥωμαίους δὲ, ὧν ἐστὶν ἡ ἀρχή,
8 ἑαυτῷ τὰ τῆς βασιλείας ἐγκεχειρικέναι. μήτε δὲ
ἀρέσκεσθαι τοῖς πραχθεῖσιν, αἰχμαλώτους τε τοὺς
περιόντας ἀποδοῦναι, χρήματά τε, ὅσα ἡρπάγη,
ἀποτῖσαι· φίλῳ τε ἀντὶ ἐχθροῦ χρῆσθαι, καὶ τὴν

εἰρήνην ὅρκοις καὶ σπονδαῖς βεβαιῶσαι. ὁ δὲ Ἀρτάβανος ταῦτά τε ἀναγνοὺς, καὶ διδαχθεὶς ὑπὸ τῶν πρέσβεων περὶ τῆς Ἀντωνίνου ἀναιρέσεως, αὐτάρκη τιμωρίαν τὸν παρασπονδήσαντα δεδωκέναι νομίζων, τοῦ τε στρατοῦ αὐτῷ τετρυχωμένου, ἀγαπῶν τε τοὺς αἰχμαλώτους καὶ τὰ χρήματα ἀναιμωτὶ ἀπολαβεῖν, σπεισάμενος εἰρήνην πρὸς τὸν Μακρῖνον, εἰς τὰ ἑαυτοῦ ἐπανέρχεται. ὁ δὲ τόν τε στρατὸν ἀπαλλάξας τῆς ἐν Μεσοποταμίᾳ διατριβῆς, εἰς τὴν Ἀντιόχειαν ἠπείγετο.

# ΗΡΩΔΙΑΝΟΥ

## ΙΣΤΟΡΙΩΝ

## ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

1 I. Ὅπως μὲν δὴ ὁ Ἀντωνῖνος ἦρξέ τε καὶ ἐτελεύτησε, δεδήλωται ἐν τῷ πρὸ τούτου συγγράμματι. [ἥ τε πρὸ τούτου ἐπιβουλὴ καὶ διαδοχή.] γενόμενος δὲ ἐν τῇ Ἀντιοχείᾳ ὁ Μακρῖνος, ἐπιστέλλει τῷ τε δήμῳ Ῥωμαίων καὶ τῇ Συγκλήτῳ, λέγων
2 τοιάδε· ,,Ἐν εἰδόσι μὲν ὑμῖν τοῦ τε βίου μου τὴν ἐξ ἀρχῆς προαίρεσιν, τοῦ τε τρόπου τὸ πρὸς χρηστότητα ἐπιῤῥεπές, καὶ τὸ πρᾶον τῆς διοικηθείσης πρότερον πράξεως, οὐ πολύ τι ἐξουσίας καὶ δυνάμεως βασιλικῆς ἀποδεούσης, (ὅπου γε καὶ αὐτὸς ὁ βασιλεὺς τοῖς ἐπάρχουσι τῶν στρατοπέδων πεπίστευται,) περιττὸν νομίζω μακρηγορεῖν. ἴστε γάρ με καὶ οἷς ἐκεῖνος ἔπραττεν οὐκ ἀρεσκόμενον, καὶ προκινδυνεύσαντα ὑμῶν, ἐν οἷς, πολλάκις ταῖς τυχούσαις διαβολαῖς πιστεύων, ἀφειδῶς ὑμῖν προς-
3 εφέρετο. κἀμὲ μὲν κακῶς ἠγόρευε, καὶ δημοσίᾳ πολλάκις τὸ μέτριόν μου καὶ πρὸς τοὺς ἀρχομένους φιλάνθρωπον διαβάλλων, καὶ διασκώπτων εἰς ῥαθυμίαν καὶ τρόπων χαυνότητα· κολακείαις δὲ χαίρων, καὶ τοὺς εἰς ὠμότητα παροξύνοντας, τῷ τε θυμῷ τὸ ἐνδόσιμον αὐτοῦ διδόντας, τήν τε ὀργὴν διαβολαῖς ἐγείροντας, εὔνους καὶ πιστοὺς ἐδοκίμαζε φίλους. ἐμοὶ δὲ ἐξ ἀρχῆς τὸ πρᾶον καὶ
4 μέτριον προσφιλές. τὸν γοῦν πρὸς Παρθυαίους

πόλεμον, μέγιστόν τε ὄντα, καὶ ἐφ' ᾧ πᾶσα Ῥω-
μαίων ἐσάλευεν ἀρχή, κατελύσαμεν· καὶ ἐν οἷς
ἀνδρείως παραταξάμενοι, οὐδέν τι ἡττήμεθα, καὶ
ἐν οἷς σπείσαντες, μετὰ πολλῆς δυνάμεως ἐλθόν-
τα μέγαν βασιλέα πιστὸν φίλον ἀντ' ἐχθροῦ δυς-
μάχου ἐποιήσαμεν. ἐμοῦ δὲ κρατοῦντος, ἐν ἀδείᾳ
τε καὶ ἀναιμωτὶ πάντες βιώσονται· ἀριστοκρατία
τε μᾶλλον ἢ βασιλεία νομισθήσεται. μηδέ τις 5
ἀπαξιούτω, ἢ τύχης παῖσμα νομιζέτω, ὅτι δὴ
ὄντα με ἐκ τῆς ἱππάδος τάξεως, ἐπὶ τοῦτο ἤγαγε.
τί γὰρ ὄφελος εὐγενείας, εἰ μὴ χρηστὸς καὶ φι-
λάνθρωπος συνοικεῖ τρόπος; τὰ μὲν γὰρ τῆς τύ-
χης δῶρα καὶ ἀναξίοις περιπίπτει· ἡ δὲ τῆς ψυ-
χῆς ἀρετὴ ἰδίαν ἑκάστῳ δόξαν περιτίθησιν. εὐγέ-
νεια δὲ καὶ πλοῦτος καὶ ὅσα τοιαῦτα μακαρίζεται
μὲν, οὐκ ἐπαινεῖται δὲ, ὡς παρ' ἄλλου δοθέντα·
ἐπιείκεια δὲ καὶ χρηστότης, ἅμα τῷ θαυμάζεσθαι,
καὶ τῶν ἐπαίνων τὴν ἀναφορὰν εἰς αὐτόν τινα ἔχει 6
τὸν κατορθοῦντα. τί γοῦν ὑμᾶς ὤνησεν ἡ Κομμό-
δου εὐγένεια, ἢ Ἀντωνίνου ἡ πατρῴα διαδοχή;
οἱ μὲν γὰρ, ὥςπερ ὄφλημα κληρονομίας εἰληφότες,
ἀποχρῶνταί τε καὶ ἐνυβρίζουσιν ὡς ἄνωθεν ἰδίῳ
κτήματι· οἱ δὲ παρ' ὑμῶν λαβόντες, χάριτός τε
ἀϊδίου εἰσὶ χρεῶσται, καὶ πειρῶνται ἀμείψασθαι
τοὺς εὐεργεσίαις προειληφότας. καὶ τῶν μὲν εὐπα- 7
τριδῶν βασιλέων τὸ εὐγενὲς εἰς ὑπεροψίαν ἐκπίπτει,
καταφρονήσει τῶν ὑπηκόων ὡς πολὺ ἐλαττόνων·
οἱ δὲ ἐκ μετρίων πράξεων εἰς τοῦτο ἐλθόντες, περιέ-
πουσιν αὐτὸ ὡς καμάτῳ κτηθὲν, αἰδῶ τε καὶ τιμὴν
ἀπονέμουσιν, ἣν εἰώθεσαν, τοῖς ποτὲ κρείττοσιν.
ἐμοὶ δὲ σκοπὸς, μηδέν τι πράττειν ἄνευ τῆς ὑμε- 8
τέρας γνώμης, κοινωνούς τε καὶ συμβούλους ἔχειν
τῆς τῶν πραγμάτων διοικήσεως. ὑμεῖς δὲ ἐν ἀδείᾳ
καὶ ἐλευθερίᾳ βιώσεσθε, ὧν ἀφῃρέθητε μὲν ὑπὸ
τῶν εὐπατριδῶν βασιλέων, ἀποδοῦναι δὲ ὑμῖν ἐπει-
ράθησαν, πρότερον μὲν Μάρκος, ὕστερον δὲ Περ-
τίναξ, ἐξ ἰδιωτικῶν σπαργάνων ἐπὶ τοῦτο ἐλθόντες.
γένους γὰρ ἔνδοξον ἀρχὴν αὐτὸν παρασχεῖν καὶ τῷ

ὑστέρῳ γένει ἄμεινον, ἢ κλέος προγονικὸν παραλαμβάνοντα τρόπου φαυλότητι καταισχῦναι."

1 II. Ἀναγνωσθείσης δὲ τῆς τοιαύτης ἐπιστολῆς, εὐφημεῖ τε αὐτὸν ἡ Σύγκλητος, καὶ τὰς σεβασμίους τιμὰς πάσας ψηφίζεται. οὐχ οὕτω δὲ εὔφραινε πάντας ἡ Μακρίνου διαδοχὴ, ὡς ὑπερήδοντό τε καὶ πανδημεὶ ἑώρταζον ἐπὶ τῇ Ἀντωνίνου ἀπαλλαδῇ. ἕκαστός τε ᾤετο, μάλιστα τῶν ἐν ἀξιώσει τινὶ ἢ πράξει καθεστώτων, ξίφος ἀποσεσεῖσθαι τοῖς
2 αὐχέσιν ἐπαιωρούμενον. συκοφάνται τε ἢ δοῦλοι, ὅσοι δεσπότας κατήγγελον, ἀνεσκολοπίσθησαν· ἥ τε Ῥωμαίων πόλις καὶ σχεδὸν πᾶσα ἡ ὑπὸ Ῥωμαίους οἰκουμένη, καθαρθεῖσα πονηρῶν ἀνθρώπων, τῶν μὲν κολασθέντων, τῶν δὲ ἐξωσθέντων, εἰ δέ τινες καὶ ἔλαθον, δι' εὐλάβειαν ἡσυχαζόντων, ἐν ἀδείᾳ πολλῇ καὶ εἰκόνι ἐλευθερίας ἐβίωσαν ἐκείνου
3 τοῦ ἔτους, οὗ μόνου ὁ Μακρῖνος ἐβασίλευσε. τοσοῦτον δὲ ἥμαρτεν, ὅσον μὴ διέλυσεν εὐθέως τὰ στρατόπεδα, καὶ ἑκάστους εἰς τὰ ἑαυτῶν απέπεμψεν, αὐτός τε εἰς τὴν Ῥώμην ποθοῦσαν ἠπείχθη, τοῦ δήμου ἑκάστοτε καλοῦντος μεγάλαις βοαῖς, ἐν δὲ τῇ Ἀντιοχείᾳ διέτριβε· γένειόν τε ἀσκῶν, βαδίζων τε πλέον τοῦ δέοντος ἠρεμαίως, βραδύτατά τε καὶ μόλις τοῖς προσιοῦσιν ἀποκρινόμενος, ὡς μηδ' ἀκούεσθαι πολλάκις διὰ τὸ καθειμένον τῆς φωνῆς.
4 ἐζήλου δὲ ταῦτα ὡς δὴ Μάρκου ἐπιτηδεύματα, τὸν δὲ λοιπὸν βίον οὐκ ἐμιμήσατο. ἐπεδίδου δὲ ἑκάστοτε εἰς τὸ ἁβροδίαιτον, ὀρχηστῶν τε θέαις καὶ πάσης μούσης κινήσεώς τε εὐρύθμου ὑποκριταῖς σχολάζων, τῆς τε τῶν πραγμάτων διοικήσεως ἀμελῶς ἔχων. προήει τε πόρπαις καὶ ζωστῆρσι χρυσῷ πολλῷ καὶ λίθοις τιμίοις πεποικιλμένοις κεκοσμημένος, τῆς τοιαύτης πολυτελείας παρὰ τοῖς Ῥωμαίων στρατιώταις οὐκ ἐπαινουμένης, βαρβάρου δὲ μᾶλλον καὶ θηλυπρεποῦς εἶναι δοκούσης.

5 Ἅπερ ὁρῶντες οἱ στρατιῶται, οὐ πάνυ τι ἀπεδέχοντο, ἀπηρέσκοντό τε αὐτοῦ τῷ βίῳ, ὡς ἀνειμένῳ μᾶλλον ἢ κατ' ἄνδρα στρατιωτικόν· παραβάλ-

λοντες δὲ τὴν μνήμην τῇ Ἀντωνίνου διαίτῃ, ἐπι-
στρεφεῖ τε καὶ στρατιωτικῇ γενομένῃ, κατεγίνωσκον
τῆς Μακρίνου πολυτελείας. ἔτι τε ἠγανάκτουν, 6
αὐτοὶ μὲν ὑπὸ σκηναῖς καὶ ἐν ἀλλοδαπῇ διαιτώμενοι,
ἔσθ᾽ ὅτε καὶ σπανίζοντες τῶν ἐπιτηδείων, εἰς τε τὰ
ἑαυτῶν οὐκ ἐπανιόντες, εἰρήνης εἶναι δοκούσης.
ὁρῶντες δὲ τὸν Μακρῖνον [ἐν] χλιδῇ καὶ τρυφῇ
διαιτώμενον, ἀφηνιάζοντες ἤδη, πρὸς ἀλλήλους αὐ-
τὸν κακῶς ἠγόρευον· προφάσεώς τε ὀλίγης λαβέ-
σθαι εὔχοντο εἰς τὸ ἀποσκευάσασθαι τὸ λυποῦν.

III. Ἐχρῆν δὲ ἄρα Μακρῖνον, ἐνιαυτοῦ μόνου τῇ 1
βασιλείᾳ ἐντρυφήσαντα, ἅμα τῷ βίῳ καὶ τὴν ἀρχὴν
καταλῦσαι, μικρὰν καὶ εὐτελῆ πρόφασιν τοῖς στρα-
τιώταις εἰς ἃ ἐβούλοντο τῆς τύχης παρασχούσης.

Μαισὰ ἦν τις ὄνομα, τὸ γένος Φοίνισσα, ἀπὸ 2
Ἐμέσου καλουμένης οὕτω πόλεως ἐν Φοινίκῃ. ἀδελ-
φὴ δὲ ἐγεγόνει Ἰουλίας μὲν, τῆς Σεβήρου γυναικός,
Ἀντωνίνου δὲ μητρός. παρὰ πάντα οὖν τὸν τῆς
ἀδελφῆς βίον ἐν τῇ βασιλείῳ διέτριψεν αὐλῇ χρόνου
πολυετοῦς, παρ᾽ ὃν Σεβῆρός τε καὶ Ἀντωνῖνος ἐβα-
σίλευσαν. τὴν δὴ Μαισὰν ταύτην ὁ Μακρῖνος, με-
τὰ τὴν τῆς ἀδελφῆς τελευτὴν, Ἀντωνίνου δὲ ἀναί-
ρεσιν, προσέταξεν εἰς τὴν πατρίδα ἐπανελθοῦσαν,
ἐν τοῖς οἰκείοις καταβιῶναι, πάντα ἔχουσαν τὰ ἑαυ-
τῆς. πλείστων δὲ ἦν χρημάτων ἀνάπλεως, ἅτε
μακρῷ χρόνῳ βασιλικῇ ἐξουσίᾳ ἐντεθραμμένη. ἐπα- 3
νελθοῦσα δὲ ἡ πρεσβῦτις, διέτριβεν ἐν τοῖς ἑαυ-
τῆς. ἦσαν δὲ αὐτῇ θυγατέρες δύο· Σοαιμὶς μὲν ἡ
πρεσβυτέρα ἐκαλεῖτο, ἡ δὲ ἑτέρα, Μαμμαία. παῖ-
δες δὲ ἦσαν, τῇ μὲν πρεσβυτέρᾳ Βασσιανὸς ὄνομα,
τῇ δὲ νεωτέρᾳ Ἀλεξιανός. ὑπὸ δὲ ταῖς μητράσι
καὶ τῇ μάμμῃ ἀνετρέφοντο· ὁ μὲν Βασσιανός, περὶ
ἔτη γεγονὼς τεσσαρεσκαίδεκα, ὁ δὲ Ἀλεξιανός, δε-
κάτου ἔτους ἐπιβεβηκώς. ἱέρωντο δὲ αὐτοὶ θεῷ 4
Ἡλίῳ· τοῦτον γὰρ οἱ ἐπιχώριοι σέβουσι, τῇ Φοινί-
κων φωνῇ Ἐλαιαγάβαλον καλοῦντες. νεὼς δὲ αὐ-
τῷ μέγιστος κατεσκεύαστο αὐτοῦ, χρυσῷ πολλῷ

καὶ ἀργυρίῳ κεκοσμημένος, λίθων τε πολυτελείᾳ.
θρησκεύεται δὲ οὐ μόνον πρὸς τῶν ἐπιχωρίων, ἀλ-
λὰ καὶ πάντες οἱ γειτνιῶντες σατράπαι τε καὶ βασι-
λεῖς βάρβαροι φιλοτίμως πέμπουσι τῷ θεῷ ἑκάστου
5 ἔτους πολυτελῆ ἀναθήματα. ἄγαλμα μὲν οὖν, ὥς-
περ παρ᾽ Ἕλλησιν ἢ Ῥωμαίοις, οὐδὲν ἕστηκε χει-
ροποίητον, θεοῦ φέρον εἰκόνα· λίθος δέ τίς ἐστι
μέγιστος, κάτωθεν περιφερὴς, λήγων εἰς ὀξύτητα·
κωνοειδὲς αὐτῷ σχῆμα, μέλαινά τε ἡ χροιά. διοπε-
τῆ τε αὐτὸν εἶναι σεμνολογοῦσιν· ἐξοχάς τε τινὰς
βραχείας καὶ τύπους δεικνύουσιν, εἰκόνα τε Ἡλίου
6 ἀνέργαστον εἶναι θέλουσιν, οὕτω βλέποντες. τούτῳ
δὴ τῷ θεῷ ὁ Βασσιανὸς ἱερωμένος, (ἅτε γὰρ πρεσ-
βυτέρῳ ἐκείνῳ ἐγκεχείριστο ἡ θρησκεία,) προήει τε
σχήματι βαρβάρῳ, χιτῶνας χρυσοϋφεῖς καὶ ἁλουρ-
γεῖς χειριδωτοὺς καὶ ποδήρεις ἀνεζωσμένος, τά τε
σκέλη σκέπων πάντα ἀπ᾽ ὀνύχων ἐς μηροὺς ἐσθῆ-
σιν ὁμοίως χρυσῷ καὶ πορφύρᾳ πεποικιλμέναις· τήν
τε κεφαλὴν ἐκόσμει στέφανος λίθων πολυτελῶν χροιᾷ
7 διηνθισμένος. ἦν δὲ τὴν ἡλικίαν ἀκμαῖος, καὶ τὴν
ὄψιν τῶν κατὰ αὐτὸν ὡραιότατος μειρακίων πάντων.
εἰς τὸ αὐτὸ δὴ συνιόντων, κάλλους σώματος, ἡλι-
κίας ἀκμῆς, ἁβροῦ σχήματος, ἀπείκασεν ἄν τις τὸ
μειράκιον Διονύσου καλαῖς εἰκόσιν.
8 Ἱερουργοῦντα δὴ τοῦτον, περί τε τοῖς βωμοῖς
χορεύοντα νόμῳ Βαρβάρων, ὑπό τε αὐλοῖς καὶ σύ-
ριγξι παντοδαπῶν τε ὀργάνων ἤχῳ, περιεργότερον
ἐπέβλεπον οἵ τε ἄλλοι ἄνθρωποι καὶ μάλιστα οἱ στρα-
τιῶται, εἰδότες γένους ὄντα βασιλικοῦ, καὶ τῆς
ὥρας αὐτοῦ πάντων τὰς ὄψεις εἰς ἑαυτὴν ἐπιστρε-
9 φούσης. ἐγειτνίαζε δὲ τῇ πόλει ἐκείνῃ τότε μέγιστον
στρατόπεδον, ὃ τῆς Φοινίκης προήσπιζεν· ὕστερον
δὲ μετηνέχθη, ὡς ἐν τοῖς ἑξῆς ἐροῦμεν. φοιτῶντες
οὖν οἱ στρατιῶται ἑκάστοσε εἰς τὴν πόλιν, εἴς τε
τὸν νεὼν ἰόντες θρησκείας δὴ χάριν, τὸ μειράκιον
ἡδέως ἔβλεπον. ἦσαν δέ τινες ἐξ αὐτῶν καὶ πρόσ-
10 φυγες οἰκεῖοί τε τῆς Μαισῆς· πρὸς οὓς ἐκείνη
θαυμάζοντας τὸν παῖδα, εἴτε πλασαμένη, εἴτε καὶ

ἀληθεύουσα, ἐξεῖπεν ὅτι ἄρα Ἀντωνίνου υἱός ἐστι
τῇ φύσει, τῇ δὲ ὑπολήψει, ἄλλου δοκοίη. ἐπιφοι-
τῆσαι γὰρ αὐτὸν ταῖς θυγατράσιν αὐτῆς νέαις τε
οὔσαις καὶ ὡραίαις, καθ' ὃν καιρὸν ἐν τοῖς βασι-
λείοις σὺν τῇ ἀδελφῇ διέτριβεν. ὅπερ ἐκεῖνοι ἀκού-
σαντες, τοῖς συστρατιώταις κατ' ὀλίγον ἀπαγγέλλον-
τες, διαβόητον ἐποίησαν τὴν φήμην, ὡς εἰς πᾶν
χωρῆσαι τὸ στρατιωτικόν. τῇ δὲ Μαισῇ ἐλέγετο 11
σωροὺς εἶναι χρημάτων· ἐκείνην δὲ ἑτοίμως πάντα
προέσθαι τοῖς στρατιώταις, εἰ τὴν βασιλείαν τῷ
γένει ἀνανεώσαιτο. ὡς δὲ συνέθεντο, νύκτωρ, εἰ
κατέλθοιεν λαθόντες, ἀνοίξειν τὰς πύλας, καὶ δέ-
ξεσθαι πᾶν τὸ γένος ἔνδον, βασιλέα τε καὶ υἱὸν
ἀποδείξειν Ἀντωνίνου· ἐπέδωκεν ἑαυτὴν ἡ πρεσβῦ-
τις, ἑλομένη πάντα κίνδυνον ἀναῤῥίψαι μᾶλλον, ἢ
ἰδιωτεύειν καὶ δοκεῖν ἀπεῤῥίφθαι· νύκτωρ τε λά-
θρα τῆς πόλεως ὑπεξῆλθε σὺν ταῖς θυγατράσι καὶ
τοῖς ἐγγόνοις. καταγαγόντων τε αὐτοὺς τῶν προς- 12
φυγόντων στρατιωτῶν, γενόμενοι πρὸς τῷ τείχει τοῦ
στρατοπέδου, ῥᾷστα ὑπεδέχθησαν· εὐθέως τε τὸν
παῖδα πᾶν τὸ στρατόπεδον Ἀντωνῖνον προσηγόρευ-
σαν, τῇ τε πορφυρᾷ χλαμύδι περιβαλόντες, εἶχον
ἔνδον. πάντα δὲ τὰ ἐπιτήδεια, καὶ παῖδας καὶ γυ-
ναῖκας, ὅσα τε εἶχον ἐν κώμαις ἢ ἀγροῖς τοῖς πλη-
σίον, εἰςκομίσαντες, τάς τε πύλας ἀποκλείσαντες,
παρεσκεύαζον ἑαυτοὺς ὡς, εἰ δέοι, ὑπομενοῦντες
πολιορκίαν.

IV. Ὡς δὲ ταῦτα ἀπηγγέλη τῷ Μακρίνῳ, ἐν 1
Ἀντιοχείᾳ διατρίβοντι, ἥ τε φήμη διέδραμεν ἀνὰ
τὰ λοιπὰ στρατόπεδα, ὅτι τε Ἀντωνίνου υἱὸς εὑρέ-
θη, καὶ ὅτι ἡ Ἰουλίας ἀδελφὴ χρήματα δίδωσι·
πάντα τὰ λεγόμενα καὶ ἐνδεχόμενα καὶ ἀληθῆ πιστεύ-
σαντες εἶναι, τὰς ψυχὰς ἐξεπτόηντο. ἐνῆγε δ' αὐ- 2
τοὺς καὶ ἀνέπειθεν εἰς πραγμάτων καινοτομίαν τό τε
Μακρίνου μῖσος, καὶ τὸ Ἀντωνίνου τῆς μνήμης πά-
θος, καὶ πρό γε ἁπάντων, ἡ τῶν χρημάτων ἐλπίς,
ὡς πολλοὺς καὶ αὐτομολοῦντας φοιτᾷν πρὸς τὸν νέον
Ἀντωνῖνον. ὁ δὲ Μακρῖνος, καταφρονῶν τοῦ πρά-

γματος ὡς παιδαριώδους, χρώμενός τε τῇ συνήθει
ῥᾳθυμίᾳ, αὐτὸς μὲν οἴκοι μένει, πέμπει δὲ ἕνα τῶν
ἀρχόντων τοῦ στρατοπέδου, δύναμιν δοὺς ὅσην ᾤετο
3 ῥᾷστα ἐκπορθήσειν τοὺς ἀφεστῶτας. ὡς δ' ἦλθεν
Ἰουλιανός, (τοῦτο γὰρ ἦν ὄνομα τῷ ἐπάρχῳ,) καὶ
προσέβαλε τοῖς τείχεσιν, ἔνδοθεν οἱ στρατιῶται ἀνελ-
θόντες ἐπί τε τοὺς πύργους καὶ τὰς ἐπάλξεις, τόν
τε παῖδα τῷ ἔξωθεν πολιορκοῦντι στρατῷ ἐδείκνυσαν,
Ἀντωνίνου υἱὸν εὐφημοῦντες· βαλάντιά τε χρημά-
4 των, μέγα δέλεαρ προδοσίας, αὐτοῖς ἐδείκνυσαν. οἱ
δὲ πιστεύσαντες, Ἀντωνίνου τε εἶναι τέκνον καὶ
ὁμοιότατόν γε, (βλέπειν γὰρ οὕτως ἤθελον,) τοῦ
μὲν Ἰουλιανοῦ τὴν κεφαλὴν ἀποτέμνουσι, καὶ πέμ-
πουσι τῷ Μακρίνῳ· αὐτοὶ δὲ πάντες, ἀνοιχθεισῶν
αὐτοῖς τῶν πυλῶν, εἰς τὸ στρατόπεδον ἐδέχθησαν.
οὕτως ἡ δύναμις αὐξηθεῖσα, οὐ μόνον ἦν πρὸς τὸ
ἀπομάχεσθαι πολιορκίᾳ, ἀλλὰ καὶ πρὸς τὸ συστά-
δην καὶ ἐξ ἀντιστάσεως ἀγωνίζεσθαι ἀξιόχρεως· ἔτι
τε καὶ τῶν αὐτομόλων τὸ πλῆθος ἑκάστοτε, εἰ καὶ
κατ' ὀλίγους προσιόν, τὴν δύναμιν ηὔξησεν.
5 Ὁ δὲ Μακρῖνος, ὡς ταῦτα ἐπυνθάνετο, ἀθροί-
σας πάντα ὃν εἶχε στρατόν, ἐπῄει ὡς δὴ πολιορ-
κήσων τοὺς ἐκείνῳ προσκεχωρηκότας. ὁ δὲ Ἀντω-
νῖνος, οὐκ ἀναμενόντων τῶν σὺν αὐτῷ στρατιωτῶν
πολιορκηθῆναι, θαῤῥησάντων δὲ μετὰ πάσης προ-
θυμίας ἐξελθεῖν τε, καὶ ὑπαντώμενοι τῷ Μακρίνῳ
ἐκ παρατάξεως ἀγωνίζεσθαι, ἐξάγει τὴν αὐτοῦ δύ-
6 ναμιν. συμμίξαντα δὲ ἀλλήλοις τὰ στρατόπεδα Φοι-
νίκης τε καὶ Συρίας ἐν μεθορίοις, οἱ μὲν ὑπὲρ τοῦ
Ἀντωνίνου προθύμως ἠγωνίζοντο, δεδιότες, εἰ ἡτ-
τηθεῖεν, τὴν ἐφ' οἷς ἔδρασαν τιμωρίαν ἀναδέξασθαι·
οἱ δὲ σὺν τῷ Μακρίνῳ ῥᾳθυμότερον προσεφέροντο
τῷ ἔργῳ, ἀποδιδράσκοντες καὶ μετιόντες πρὸς τὸν
7 Ἀντωνῖνον. ὅπερ ὁρῶν ὁ Μακρῖνος, φοβηθείς τε
μὴ παντάπασι γυμνωθεὶς τῆς δυνάμεως, αἰχμάλω-
τός τε ληφθεὶς, αἴσχιστος ὑβρισθείη, ἔτι τῆς μά-
χης συνεστώσης, ἑσπέρας ἤδη προσιούσης, ἀποῤῥί-
ψας τὸ χλαμύδιον, καὶ εἴ τι σχῆμα βασιλικὸν πε-

ῥιέκειτο, λαθὼν ἀποδιδράσκει σὺν ὀλίγοις ἑκατον-
τάρχαις, οὓς πιστοτάτους ᾤετο· τὸ γένειον ἀπο-
κειράμενος, ὡς μὴ γνωρίζοιτο, ἐσθῆτά τε ὁδοιπο-
ρικὴν λαβὼν, καὶ τὴν κεφαλὴν ἀεὶ σκέπων. νύκτωρ 8
τε καὶ μεθ᾽ ἡμέραν ὡδοιπόρει, φθάνων τὴν φήμην
τῆς ἑαυτοῦ τύχης· τῶν τε ἑκατοντάρχων μεγάλῃ
σπουδῇ τὰ ὀχήματα ἐπειγόντων, ὡς ἂν ὑπὸ Μα-
κρίνου ἔτι βασιλεύοντος ἐπί τινα σπουδαῖα πεμφθέν-
των. ὁ μὲν οὖν ἔφυγεν, ὡς εἴρηται· ὁ δὲ στρατὸς
ἑκατέρωθεν ἐμάχοντο· ὑπὲρ τοῦ Μακρίνου, οἱ σω-
ματοφύλακες καὶ δορυφόροι, (οὓς δὴ πραιτωριανοὺς
καλοῦσιν,) οἳ γενναίως ἀνθεστήκεσαν παντὶ τῷ ἄλ-
λῳ στρατῷ, ἅτε ὄντες μέγιστοί τε καὶ ἐπίλεκτοι·
τὸ δὲ ἐπίλοιπον πᾶν πλῆθος ὑπὲρ τοῦ Ἀντωνίνου
ἠγωνίζοντο. ὡς δὲ ἐπὶ πολὺ τὸν Μακρῖνον οὐκ ἔβλε- 9
πον οἱ ὑπὲρ αὐτοῦ μαχόμενοι, οὐδὲ τὰ τῆς βασι-
λείας σύμβολα, διηπόρουν δὲ ποῦ ποτὲ ἄρα εἴη, πό-
τερον ἐν τῷ πλήθει τῶν κειμένων, ἢ ἀποδρὰς ᾤχε-
το, ἠγνόουν τε πῶς χρήσονται τῷ πράγματι. οὔτε
γὰρ μάχεσθαι ἤθελον ὑπὲρ τοῦ μὴ παρόντος, πα-
ραδοῦναι δὲ αὑτοὺς ἐκδότους καὶ ὥσπερ αἰχμαλώ-
τους ᾐδοῦντο.

Ὡς δὲ παρὰ τῶν αὐτομόλων ἐπύθετο Ἀντω- 10
νῖνος τὴν τοῦ Μακρίνου φυγὴν, πέμψας κήρυκας,
διδάσκει αὐτοὺς ὅτι μάτην ὑπὲρ ἀνάνδρου καὶ φυ-
γάδος μάχονται· ἄδειάν τε καὶ ἀμνηστίαν ἐνόρκως
ὑπισχνεῖται, καλεῖ τε καὶ αὐτοὺς δορυφορήσοντας.
οἱ μὲν οὖν πεισθέντες, προσεχώρησαν· ὁ δὲ Ἀντω-
νῖνος πέμπει τοὺς διώξοντας τὸν Μακρῖνον πολὺ
προκεχωρηκότα. ἐν Καλχηδόνι γοῦν τῆς Βιθυνίας 11
κατελήφθη, νοσῶν χαλεπώτατα, ὑπό τε τῆς συν-
εχοῦς ὁδοιπορίας συντετριμμένος. ἔνθα αὐτὸν εὑ-
ρόντες ἔν τινι κρυπτόμενον προαστείῳ οἱ διώκοντες,
τὴν κεφαλὴν ἀπέτεμον. ἐλέγετο δὲ σπεύδειν εἰς τὴν
Ῥώμην, θαῤῥῶν τῇ τοῦ δήμου περὶ αὐτὸν σπουδῇ.
περαιούμενον δ᾽ αὐτὸν εἰς τὴν Εὐρώπην διὰ τοῦ στε-
νοῦ τῆς Προποντίδος πορθμοῦ, ἤδη τε τῷ Βυζαν-
τίῳ προσπελάζοντα, φασὶν ἀντιπνοίᾳ χρήσασθαι,

ἐπανάγοντος αὐτὸν τοῦ πνεύματος εἰς τὴν τιμωρίαν.
12 παρὰ τοσοῦτον μὲν δὴ Μακρῖνος οὐκ ἐξέφυγε τοὺς
διώξαντας, τέλει τε ἐχρήσατο αἰσχρῷ· ὕστερον
θελήσας εἰς τὴν Ῥώμην ἀνελθεῖν, δέον ἐν ἀρχῇ
τοῦτο ποιῆσαι· ὁμοῦ δὲ ἔπταισε καὶ γνώμῃ καὶ
τύχῃ. τέλει μὲν δὴ τοιούτῳ ὁ Μακρῖνος ἐχρήσατο,
συναναιρεθέντος αὐτῷ καὶ τοῦ παιδός, ὃν ἦν ποιή-
σας Καίσαρα, Διαδουμενιανὸν καλούμενον.

1 V. Ἐπεὶ δὲ ὅ τε στρατὸς πᾶς μετελθὼν πρὸς
τὸν Ἀντωνῖνον, προςεῖπε βασιλέα, τά τε τῆς ἀρ-
χῆς ὑπεδέξατο, διοικηθέντων αὐτῷ κατὰ τὴν ἀνα-
τολὴν τῶν ἐπειγόντων ὑπό τε τῆς μάμμης καὶ τῶν
συνόντων φίλων, (αὐτὸς γὰρ ἦν νέος τε τὴν ἡλικίαν,
πραγμάτων τε καὶ παιδείας ἄπειρος,) οὐ πολλοῦ χρό-
νου διατρίψας, εἶχε περὶ ἔξοδον, σπευδούσης μά-
λιστα τῆς Μαισῆς εἰς τὰ συνήθη ἑαυτῇ βασίλεια
2 Ῥώμης. ὡς δὲ τῇ τε Συγκλήτῳ καὶ τῷ Ῥωμαίων
δήμῳ τὰ πραχθέντα ἐδηλώθη, δυςφόρως μὲν πάν-
τες ἤκουσαν, ὑπήκουον δὲ ἀνάγκῃ, τοῦ στρατοῦ
ταῦτα ᾑρημένου. κατεγίγνωσκόν τε τοῦ Μακρίνου
ῥαθυμίαν τε καὶ τρόπων χαυνότητα· αἴτιόν τε οὐκ
ἄλλον ἀλλ᾽ ἢ αὐτὸν ἑαυτῷ γεγενῆσθαι ἔλεγον.

3 Ὁ δὲ Ἀντωνῖνος, ἀπάρας τῆς Συρίας, ἐλθών
τε εἰς τὴν Νικομήδειαν ἐχείμαζε, τῆς ὥρας τοῦ
ἔτους οὕτως ἀπαιτούσης. εὐθέως τε ἐξεβακχεύετο,
τήν τε ἱερωσύνην τοῦ ἐπιχωρίου θεοῦ, ᾗ ἐντέθρα-
πτο, περιεργότερον ἐξωρχεῖτο· σχήμασί τε ἐσθῆ-
τος πολυτελεστάτης χρώμενος, διά τε πορφύρας
χρυσοῦ ὑφάσμασι, περιδεραίοις τε καὶ ψελλίοις
κοσμούμενος, εἰς εἶδος δὲ τιάρας στεφάνην ἐπικεί-
4 μενος χρυσῷ καὶ λίθοις ποικίλην τιμίοις. ἦν τε αὐ-
τῷ τὸ σχῆμα μεταξὺ Φοινίσσης ἱερᾶς στολῆς καὶ
χλιδῆς Μηδικῆς. Ῥωμαϊκὴν δὲ ἢ Ἑλληνικὴν πᾶ-
σαν ἐσθῆτα ἐμυσάττετο, ἐρίου φάσκων εἰργάσθαι,
πράγματος εὐτελοῦς· τοῖς δὲ Σήρων ὑφάσμασι μό-
νοις ἠρέσκετο. προῄει τε ὑπὸ αὐλοῖς καὶ τυμπάνοις,
τῷ θεῷ δῆθεν ὀργιάζων.

Ἡ δὲ Μαισὰ ταῦτα ὁρῶσα, πάνυ ἤσχαλλε· 5
πείθειν τε λιπαροῦσα ἐπειρᾶτο μεταμφιέσασθαι τὴν
Ῥωμαίων στολὴν, μέλλοντά τε εἰς τὴν πόλιν ἀφίξε-
σθαι, καὶ εἰς τὴν Σύγκλητον εἰςελεύσεσθαι· μὴ
ἀλλοδαπὸν ἢ παντάπασι βάρβαρον τὸ σχῆμα ὀφθὲν,
εὐθὺς λυπήσῃ τοὺς ἰδόντας, ἀήθεις τε ὄντας, καὶ
οἰομένους τὰ τοιαῦτα καλλωπίσματα οὐκ ἀνδράσιν
ἀλλὰ θηλείαις πρέπειν. ὁ δὲ, καταφρονήσας τῶν 6
ὑπὸ τῆς πρεσβύτιδος λεχθέντων, μηδ᾽ ἄλλῳ τινὶ
πεισθεὶς, (οὐδὲ γὰρ προςίετο εἰ μὴ τοὺς ὁμοιοτρό-
πους τε καὶ κόλακας αὑτοῦ τῶν ἁμαρτημάτων,)
βουλόμενος ἐν ἔθει γενέσθαι τῆς τοῦ σχήματος ὄψεως
τήν τε Σύγκλητον καὶ τὸν δῆμον Ῥωμαίων, ἀπόν-
τος τε αὑτοῦ πεῖραν δοθῆναι, πῶς φέρουσι τὴν
ὄψιν τοῦ σχήματος, εἰκόνα μεγίστην γράψας παν-
τὸς ἑαυτοῦ, οἷος προϊών τε καὶ ἱερουργῶν ἐφαίνετο,
παραστήσας τε ἐν τῇ γραφῇ τὸν τύπον τοῦ ἐπιχω-
ρίου θεοῦ, ᾧ δὴ καλλιερῶν ἐγέγραπτο· πέμψας τε
εἰς τὴν Ῥώμην, ἐκέλευσεν ἐν τῷ μεσαιτάτῳ τῆς
Συγκλήτου τόπῳ ὑψηλοτάτῳ τε τὴν εἰκόνα ἀνατεθῆ-
ναι ὑπὲρ κεφαλῆς τοῦ ἀγάλματος τῆς Νίκης· ᾧ
συνιόντες εἰς τὸ βουλευτήριον, λιβανωτόν τε θυμιῶ-
σιν ἕκαστος, καὶ οἴνου σπένδωσι. προςέταξέ τε, 7
πάντας τοὺς Ῥωμαίων ἄρχοντας, καὶ εἴ τινες δη-
μοσίας θυσίας ἐπιτελοῦσι, πρὸ τῶν ἄλλων θεῶν οὓς
δὴ καλοῦσιν ἱερουργοῦντες, ὀνομάζειν τὸν νέον θεὸν
Ἐλαιαγάβαλον. ὡς δὲ εἰς τὴν Ῥώμην ἀφίκετο τῷ
προειρημένῳ σχήματι, οὐδὲν παράδοξον εἶδον οἱ
Ῥωμαῖοι, τῇ γραφῇ ἐνειθισμένοι. δοὺς δὲ τὰς 8
συνήθεις τῷ δήμῳ νομὰς ἐπὶ τῇ τῆς βασιλείας δια-
δοχῇ, φιλοτίμους τε καὶ πολυτελεῖς ἐπιτελέσας παν-
τοδαπὰς θέας, νεών τε μέγιστον καὶ κάλλιστον κα-
τασκευάσας τῷ θεῷ, βωμούς τε πλείστους περὶ τὸν
νεὼν ἱδρύσας, ἑκάστοτε προϊὼν ἕωθεν, ἑκατόμβας
τε ταύρων καὶ προβάτων πολὺ πλῆθος κατέσφαττε,
τοῖς τε βωμοῖς ἐπετίθει, παντοδαποῖς ἀρώμασι σω-
ρεύων· οἴνου τε τοῦ παλαιοτάτου καὶ καλλίστου
πολλοὺς ἀμφορέας τῶν βωμῶν προχέων, ὡς ῥεῖθρα

9 φέρεσθαι οἴνου τε καὶ αἵματος μεμιγμένου. περί τε τοὺς βωμοὺς ἐχόρευεν ὑπὸ παντοδαποῖς ἤχοις ὀργάνων· γύναιά τε ἐπιχώρια ἐχόρευε σὺν αὐτῷ, περιθέοντα τοῖς βωμοῖς, κύμβαλα ἢ τύμπανα μετὰ χεῖρας φέροντα· περιειστήκει δὲ πᾶσα ἡ Σύγκλητος καὶ τὸ ἱππικὸν τάγμα ἐν θεάτρου σχήματι. τὰ δὲ σπλάγχνα τῶν ἱερουργηθέντων, τά τε ἀρώματα, ἐν χρυσοῖς σκεύεσιν ὑπὲρ κεφαλῆς οὐκ οἰκέται δή τινες ἢ εὐτελεῖς ἄνθρωποι ἔφερον, ἀλλ' οἵ τ' ἔπαρχοι τῶν στρατοπέδων, καὶ οἱ ἐν ταῖς μεγίσταις πράξεσιν· ἀνεζωσμένοι οἱ μὲν χιτῶνας ποδήρεις καὶ χειριδωτοὺς, νόμῳ Φοινίκων, ἐν μέσῳ φέροντες μίαν πορφύραν· ὑποδήμασί τε λίνου πεποιημένοις ἐχρῶντο, ὥςπερ οἱ κατ' ἐκεῖνα τὰ χωρία προφητεύοντες. ἐδόκει δὲ τιμὴν μεγίστην νέμειν, οἷς ἐκοινώνει τῆς ἱερουργίας.

1 VI. Πλὴν καίτοι χορεύειν ἀεὶ καὶ ἱερουργεῖν δοκῶν, πλείστους ἀπέκτεινε τῶν ἐνδόξων τε καὶ πλουσίων, διαβληθέντας αὐτῷ ὡς ἀπαρεσκομένους καὶ σκώπτοντας αὐτοῦ τὸν βίον. ἠγάγετο δὲ γυναῖκα τὴν εὐγενεστάτην Ῥωμαίων, ἣν Σεβαστὴν ἀναγορεύσας, μετ' ὀλίγον χρόνον ἀπεπέμψατο, ἰδιωτεύειν
2 κελεύσας, καὶ τῶν τιμῶν παρελόμενος. μετ' ἐκείνην δὲ προςποιησάμενος ἐρᾷν, (ἵνα δὴ καὶ τὰ τῶν ἀνδρῶν πράττειν δοκοίη,) παρθένου τῆς Ῥωμαίων Ἑστίας ἱερωμένης, ἁγνεύειν τε πρὸς τῶν ἱερῶν νόμων κελευομένης, καὶ μέχρι τέλους τοῦ βίου παρθενεύεσθαι, ἀποσπάσας αὐτὴν τῆς Ἑστίας καὶ τοῦ ἱεροῦ παρθενῶνος, γυναῖκα ἔθετο· ἐπιστείλας τῇ Συγκλήτῳ, καὶ παραμυθησάμενος ἀσέβημά τε καὶ ἁμάρτημα τηλικοῦτον, φήσας ἀνθρώπινόν τι πεπονθέναι πάθος· ἔρωτι γὰρ τῆς κόρης ἑαλωκέναι· ἁρμόζοντά τε καὶ σεβάσμιον εἶναι γάμον ἱερέως τε καὶ ἱερείας. πλὴν καὶ ταύτην αὖ μετ' οὐ πολὺ ἀπεπέμ-
3 ψατο. τρίτην δὲ πάλιν ἠγάγετο, ἀναφέρουσαν τὸ γένος εἰς Κόμμοδον.

Ἔπαιζε δὲ γάμους οὐ μόνον ἀνθρωπείους, ἀλλὰ καὶ τῷ θεῷ, ᾧ ἱεράτευε, γυναῖκα ἐζήτει· καὶ

τῆς τε Παλλάδος τὸ ἄγαλμα, ὃ κρυπτὸν καὶ ἀόρα-
τον σέβουσι Ῥωμαῖοι, εἰς τὸν ἑαυτοῦ θάλαμον με-
τήγαγε· καὶ μὴ κινηθὲν ἐξ οὗπερ ἦλθεν ἀπὸ Ἰλίου,
εἰ μὴ ὅτε πυρὶ κατεφλέχθη ὁ νεώς, ἐκίνησεν οὗτος,
καὶ πρὸς γάμον δὴ εἰς τὴν βασίλειον αὐλὴν τῷ θεῷ
ἀνήγαγε. φήσας δὲ ἀπαρέσκεσθαι αὐτῷ, ὡς πάν- 4
τα ἐν ὅπλοις καὶ πολεμικῇ θεῷ, τῆς Οὐρανίας τὸ
ἄγαλμα μετεπέμψατο· σεβόντων αὐτὸ ὑπερφυῶς
Καρχηδονίων τε καὶ τῶν κατὰ τὴν Λιβύην ἀνθρώ-
πων. φασὶ δὲ αὐτὸ Διδὼ τὴν Φοίνισσαν ἱδρύσα-
σθαι, ὅτε δὴ τὴν ἀρχαίαν Καρχηδόνα πόλιν ἔκτισε,
βύρσαν κατατεμοῦσαν. Λίβυες μὲν οὖν αὐτὴν Οὐ-
ρανίαν καλοῦσι· Φοίνικες δὲ Ἀστροάρχην ὀνομάζου-
σι, σελήνην εἶναι θέλοντες. ἁρμόζειν τοίνυν λέγων 5
ὁ Ἀντωνῖνος γάμον ἡλίου καὶ σελήνης, τό τε ἄγαλ-
μα μετεπέμψατο καὶ πάντα τὸν ἐκεῖθεν χρυσόν·
χρήματά τε πάμπλειστα τὴν θεὸν εἰς προῖκα δὴ
ἐπιδοῦναι ἐκέλευσε. κομισθέν τε τὸ ἄγαλμα συν-
ῴκισε δὴ τῷ θεῷ, κελεύσας πάντας τοὺς κατὰ
Ῥώμην καὶ Ἰταλίαν ἀνθρώπους ἑορτάζειν, παντο-
δαπαῖς τε εὐφροσύναις καὶ εὐωχίαις χρῆσθαι δημο-
σίᾳ τε καὶ ἰδίᾳ, ὡς δὴ γαμούντων θεῶν.

Κατεσκεύασε δὲ καὶ ἐν τῷ προαστείῳ νεὼν μέ- 6
γιστόν τε καὶ πολυτελέστατον· εἰς ὃν ἑκάστου ἔτους
κατῆγε τὸν θεὸν, ἀκμάζοντος θέρους. πανηγύρεις
τε παντοδαπὰς συνεκρότει, ἱπποδρόμους τε κατα-
σκευάσας καὶ θέατρα, διά τε ἡνιοχείας καὶ πάντων
θεαμάτων καὶ ἀκουσμάτων πλείστων εὐωχούμενον
τὸν δῆμον καὶ παννυχίζοντα εὐφραίνειν ᾤετο· τόν
τε θεὸν αὐτὸν ἐπιστήσας ἅρματι, χρυσῷ τε καὶ
λίθοις τιμιωτάτοις πεποικιλμένῳ, κατῆγεν ἀπὸ τῆς
πόλεως ἐπὶ τὸ προάστειον. τὸ δὲ ἅρμα ἦγεν ἑξάπω- 7
λον, ἵππων λευκῶν μεγίστων τε καὶ ἀσπίλων, χρυ-
σῷ πολλῷ καὶ φαλάροις ποικίλοις κεκοσμημένων,
τὰς τε ἡνίας κατεῖχεν· (οὐδέπω δὲ τοῦ ἅρματος
ἄνθρωπος ἐπέβαινεν·) αὐτῷ δὲ περιέκειντο, ὡς
ἡνιοχοῦντι δὴ, τῷ θεῷ. ὁ δ' Ἀντωνῖνος ἔθεε πρὸ
τοῦ ἅρματος, ἀναποδίζων εἰς τοὐπίσω, εἴς τε τὸν

θεὸν ἀποβλέπων, καὶ τοὺς χαλινοὺς ἀντέχων τῶν
ἵππων· πᾶσάν τε τὴν ὁδὸν ἤνυε τρέχων ἔμπαλιν
8 ἑαυτοῦ, ἀφορῶν τε εἰς τὸ πρόσθεν τοῦ θεοῦ. πρός
τε τὸ μὴ πταῖσαι αὐτὸν ἢ διολισθαίνειν, οὐχ ὁρῶν-
τα ὅπου βαίνει, γῆ τε ἡ χρυσίζουσα παμπλείστη
ὑπέστρωτο, οἵ τε προασπίζοντες ἑκατέρωθεν ἀντεῖ-
χον, τῆς ἀσφαλείας τοῦ τοιούτου δρόμου προνοού-
μενοι. ὁ δὲ δῆμος ἑκατέρωθεν παρέθει μετὰ παν-
τοδαπῆς δᾳδουχίας, στεφάνους καὶ ἄνθη ἐπιῤῥι-
πτοῦντες· ἀγάλματά τε πάντων θεῶν, καὶ εἴ τι
πολυτελὲς ἀνάθημα τίμιον, ὅσα τε τῆς βασιλείας
σύμβολα ἢ πολυτελῆ κειμήλια, οἵ τε ἱππεῖς καὶ
9 στρατὸς πᾶς προεπόμπευον τοῦ θεοῦ. μετὰ δὲ τὸ
καταγαγεῖν αὐτὸν, καὶ ἱδρῦσαι ἐν τῷ ναῷ, τάς τε
προειρημένας θυσίας καὶ πανηγύρεις ἐπετέλει· πύρ-
γους τε μεγίστους καὶ ὑψηλοτάτους κατασκευάσας,
ἀνιὼν τε ἐπ᾽ αὐτοῖς, ἐῤῥίπτει τοῖς ὄχλοις (ἁρπάζειν
πᾶσιν ἐπιτρέπων) ἐκπώματά τε χρυσᾶ καὶ ἀργυρᾶ,
ἐσθῆτάς τε καὶ ὀθόνας παντοδαπὰς, ζῶά τε πάντα,
ὅσα ἥμερα, ὅσα ἀτίθασσα, πλὴν χοίρων· τούτων
10 γὰρ ἀπείχετο, Φοινίκων νόμῳ. ἐν δὴ ταῖς ἁρπα-
γαῖς πολλοὶ διεφθείροντο, ὑπό τε ἀλλήλων πατούμε-
νοι, καὶ τοῖς δόρασι τῶν στρατῶν περιπίπτοντες,
ὡς τὴν ἐκείνου ἑορτὴν πολλοῖς φέρειν συμφοράν.
αὐτὸς δὲ ἐβλέπετο πολλάκις ἡνιοχῶν ἢ ὀρχούμενος·
οὐδὲ γὰρ λανθάνειν ἤθελεν ἁμαρτάνων. προῄει τε
ὑπογραφόμενος τοὺς ὀφθαλμοὺς, καὶ τὰς παρειὰς
ἐρυθραίνων, φύσει τε πρόσωπον ὡραῖον ὑβρίζων
βαφαῖς ἀσχήμοσιν.

1 VII. Ὁρῶσα δὲ ταῦτα ἡ Μαισά, ὑποπτεύουσά
τε τοὺς στρατιώτας ἀπαρέσκεσθαι τῷ τοιούτῳ τοῦ
βασιλέως βίῳ, καὶ δεδοικυῖα μή τι ἐκείνου παθόν-
τος πάλιν ἰδιωτεύῃ, πείθει αὐτόν, κοῦφον ἄλλως
καὶ ἄφρονα νεανίαν, θέσθαι υἱόν, Καίσαρά τε
ἀποδεῖξαι, τὸν ἑαυτοῦ μὲν ἀνεψιὸν, ἐκείνης δὲ
2 ἔκγονον ἐκ τῆς ἑτέρας θυγατρὸς Μαμμαίας· εἰποῦ-
σα αὐτῷ κεχαρισμένα, ὡς ἄρα χρὴ ἐκεῖνον μὲν τῇ
ἱερωσύνῃ καὶ θρησκείᾳ σχολάζειν τοῦ θεοῦ, βακ-

χείαις καὶ ὀργίοις τοῖς τε θείοις ἔργοις ἀνακείμενον· εἶναι δὲ ἕτερον τὸν τὰ ἀνθρώπεια διοικοῦντα, ἐκείνῳ δὲ παρέξοντα τῆς βασιλείας τὸ ἀνενόχλητόν τε καὶ ἀμέριμνον· μὴ δεῖν τοίνυν ξένον ζητεῖν μηδ' ἀλλότριον, ἀλλὰ τῷ ἀνεψιῷ ταῦτα ἐγχειρίσαι. με- 3
τονομάζεται δὴ ὁ Ἀλεξιανὸς, καὶ Ἀλέξανδρος καλεῖται, παραχθέντος αὐτῷ τοῦ τοῦ πάππου ὀνόματος εἰς τὸ τοῦ Μακεδόνος, ὡς πάνυ τε ἐνδόξου καὶ τιμηθέντος ὑπὸ τοῦ δοκοῦντος πατρὸς ἀμφοτέρων εἶναι. τὴν Ἀντωνίνου, τοῦ Σεβήρου παιδὸς, μοιχείαν ἀμφότεραι αἱ Μαισῆς θυγατέρες, αὐτή τε ἡ πρεσβῦτις ἐσεμνύνετο, πρὸς τὸ τοὺς στρατιώτας στέργειν τοὺς παῖδας, υἱοὺς ἐκείνου δοκοῦντας εἶναι.

Ἀποδείκνυται δὴ Καῖσαρ ὁ Ἀλέξανδρος, ὕπα- 4
τός τε σὺν τῷ Ἀντωνίνῳ. κατελθὼν τε εἰς τὴν Σύγκλητον, ταῦτα ἐκύρωσε, γελοιότατα ψηφισαμένων πάντων ἃ ἐκελεύοντο· πατέρα μὲν ἐκεῖνον δοκεῖν, ἔτη γεγονότα περί που ἑκκαίδεκα, τὸν Ἀλέξανδρον δὲ υἱόν, τοῦ δωδεκάτου ἐπιβαίνοντα. ὡς δὲ Καῖσαρ ὁ Ἀλέξανδρος ἀπεδείχθη, ὁ Ἀντωνῖνος ἐβούλετο αὐτὸν τὰ ἑαυτοῦ παιδεύειν ἐπιτηδεύματα, ὀρχεῖσθαί τε καὶ χορεύειν, τῆς τε ἱερωσύνης κοινωνεῖν καὶ σχήμασι καὶ ἔργοις ὁμοίοις. ἡ δὲ μήτηρ αὐτὸν 5
ἡ Μαμμαία ἀπῆγε μὲν τῶν αἰσχρῶν καὶ ἀπρεπῶν βασιλεῦσιν ἔργων, διδασκάλους τε πάσης παιδείας λάθρα μετεπέμπετο, τοῖς τε σώφροσιν αὐτὸν ἤσκει μαθήμασι, παλαίστραις τε καὶ τοῖς ἀνδρῶν γυμνασίοις εἴθιζε, παιδείαν τε τὴν Ἑλλήνων καὶ Ῥωμαίων ἐπαίδευεν.

Ἐφ' οἷς Ἀντωνῖνος πάνυ ἤσχαλλε, καὶ μετεγίγνωσκε θέμενος αὐτὸν υἱὸν καὶ κοινωνὸν τῆς ἀρχῆς. τούς τε οὖν διδασκάλους αὐτοῦ πάντας ἀπε- 6
σόβει τῆς βασιλείου αὐλῆς, τινάς τε αὐτῶν τοὺς ἐνδοξοτάτους, οὓς μὲν ἀπέκτεινεν, οὓς δὲ ἐφυγάδευσεν· αἰτίας γελοιοτάτας ἐπιφέρων, ὡς διαφθείροιεν αὐτῷ τὸν δοκοῦντα υἱόν, οὐκ ἐπιτρέποντες χορεύειν ἢ βακχεύεσθαι, σωφρονίζοντες δὲ, καὶ τὰ ἀνδρῶν διδάσκοντες. ἐς τοσοῦτον δὲ ἐξώκειλε παρανοίας,

ὡς πάντα τὰ ἀπὸ τῆς σκηνῆς καὶ τῶν δημοσίων θεάτρων μεταγαγεῖν ἐπὶ τὰς μεγίστας τῶν βασιλικῶν πράξεων, καὶ τοῖς μὲν στρατοπέδοις ἔπαρχον ἐπιστῆσαι ὀρχηστήν τινα γεγονότα, καὶ δημοσίᾳ ἐν τῷ Ῥωμαίων θεάτρῳ ὀρχησάμενον, ὅτε ἦν νέος.
7 πάλιν δὲ ἕτερον ὁμοίως τῆς σκηνῆς βαστάσας, παιδείας τῶν νέων καὶ εὐκοσμίας, τῆς τε ὑποστάσεως τῆς εἰς τὴν σύγκλητον Βουλὴν ἢ τὸ ἱππικὸν τάγμα καταταςσομένων προέστησεν· ἡνιόχοις τε καὶ κωμῳδοῖς καὶ μίμων ὑποκριταῖς τὰς μεγίστας τῶν βασιλείων πίστεων ἐνεχείρισε· τοῖς δὲ δούλοις αὐτοῦ ἢ ἀπελευθέροις, ὡς ἔτυχεν ἑκάστοις ἐπ' αἰσχρῷ τινὶ εὐδοκιμήσασι, τὰς ὑπατικὰς τῶν ἐθνῶν ἐξουσίας ἐνεχείρισε.

1 VIII. Πάντων δὲ οὕτω τῶν πάλαι δοκούντων σεμνῶν εἰς ὕβριν καὶ παροινίαν ἐκβεβακχευμένων, οἵ τε ἄλλοι πάντες ἄνθρωποι, καὶ μάλιστα οἱ στρατιῶται, ἤχθοντο καὶ ἐδυςφόρουν· ἐμυσάττοντο δὲ αὐτόν, ὁρῶντες τὸ μὲν πρόσωπον καλλωπιζόμενον περιεργότερον ἢ κατὰ γυναῖκα σώφρονα, περιδεραίοις δὲ χρυσίνοις, ἐσθῆσί τε ἁπαλαῖς ἀνάνδρως κοσμούμενον, ὀρχούμενόν τε οὕτως ὡς ὑπὸ πάντων ὁρᾶ-
2 σθαι. ἐπιῤῥεπεστέρας τοίνυν τὰς γνώμας πρὸς τὸν Ἀλέξανδρον εἶχον, καὶ ἐλπίδας κρείττους ἐν παιδὶ κοσμίως καὶ σωφρόνως ἀνατρεφομένῳ. ἐφρούρουν τε αὐτὸν παντοίως, ὁρῶντες ἐπιβουλευόμενον ὑπὸ τοῦ Ἀντωνίνου. ἥ τε μήτηρ Μαμμαία οὔτε ποτὸν οὔτε ἐδώδιμόν τι εἴα τὸν παῖδα προςφέρεσθαι τῶν ὑπ' ἐκείνου πεμπομένων· ὀψοποιοῖς τε καὶ οἰνοχόοις ὁ παῖς ἐχρῆτο οὐ τοῖς βασιλικοῖς, καὶ ἐν κοινῇ ὑπηρεσίᾳ τυγχάνουσιν, ἀλλὰ τοῖς ὑπὸ τῆς μητρὸς
3 ἐπιλεχθεῖσι, πιστοτάτοις τε εἶναι δοκοῦσιν. ἐδίδου δὲ καὶ χρήματα λανθάνουσα διανέμεσθαι τοῖς στρατιώταις κρύβδην, ὅπως αὐτῶν τὴν πρὸς τὸν Ἀλέξανδρον εὔνοιαν καὶ διὰ χρημάτων, εἰς ἃ μάλιστα ἀποβλέπουσιν, οἰκειώσηται.

Ταῦτα δὴ ὁ Ἀντωνῖνος πυνθανόμενος, παντὶ τρόπῳ ἐπεβούλευε τῷ Ἀλεξάνδρῳ καὶ τῇ μητρὶ αὐ-

του· ἀλλὰ τὰς ἐπιβουλὰς πάσας ἀπεῖργέ τε καὶ
ἐκώλυεν ἡ κοινὴ μάμμη ἀμφοτέρων Μαισά, γυνὴ
καὶ ἄλλως ἐντρεχής, καὶ τῇ βασιλείῳ αὐλῇ πολλῶν
ἐτῶν ἐνδιαιτηθεῖσα, ἅτε τῆς Σεβήρου γυναικὸς Ἰου-
λίας ἀδελφὴ γενομένη, καὶ τὰ πάντα σὺν αὐτῇ ἐν
τοῖς βασιλείοις διατρίψασα. οὐδὲν οὖν αὐτὴν ἐλάν- 4
θανε τῶν ὑπὸ τοῦ Ἀντωνίνου βουλευομένων, φύσει
τε χαύνου τὸν τρόπον ὄντος, καὶ ἀφειδῶς πάντα
καὶ φανερῶς, ἃ ἐβουλεύετο, λέγοντος καὶ πράττον-
τος. ὡς δὲ τὰ τῆς ἐπιβουλῆς αὐτῷ οὐ προεχώρει,
παραλῦσαι τῆς τοῦ Καίσαρος τιμῆς ἠθέλησε τὸν
παῖδα· καὶ οὔτε ἐν ταῖς προσαγορεύσεσιν, οὔτε ἐν
ταῖς προόδοις Ἀλέξανδρος ἐτιμᾶτο. οἱ δὲ στρατιῶ- 5
ται ἐπεζήτουν τε αὐτόν, καὶ ἠγανάκτουν, ὅτι δὴ
τῆς ἀρχῆς παραλυθείη. διεσκέδασε δὲ ὁ Ἀντωνῖνος
καὶ φήμην, ὡς τοῦ Ἀλεξάνδρου τεθνήξεσθαι μέλ-
λοντος, ἐποιεῖτό τε ἀπόπειραν ὅπως οἴσουσιν οἱ
στρατιῶται τὸ θρυλλούμενον. οἱ δ' ἐπεὶ μήτε τὸν
παῖδα ἔβλεπον, ὑπό τε τῆς φήμης τὰς ψυχὰς ἐτρώ-
θησαν, ἀγανακτήσαντες, οὔτε τὴν συνήθη φρου-
ρὰν ἔπεμψαν τῷ Ἀντωνίνῳ, κατακλείσαντές τε αὑ-
τοὺς ἐν τῷ στρατοπέδῳ, τὸν Ἀλέξανδρον ἐν ἱερῷ
ἠξίουν ἰδεῖν. ὁ δ' Ἀντωνῖνος, ἐν δέει πολλῷ γενό- 6
μενος, παραλαβὼν τὸν Ἀλέξανδρον, συγκαθεσθεὶς
αὐτῷ ἐν τῷ βασιλικῷ φορείῳ, ὅπερ διὰ χρυσοῦ
πολλοῦ καὶ λίθων τιμίων πεποίκιλτο, κατῆλθεν εἰς
τὸ στρατόπεδον σὺν τῷ Ἀλεξάνδρῳ.

Ὡς δὲ ἀνοίξαντες τὰς πύλας, ἐδέξαντο αὐτούς,
ἔς τε τὸν νεὼν τοῦ στρατοπέδου ἤγαγον, τὸν μὲν
Ἀλέξανδρον ὑπερφυῶς ἠσπάζοντό τε καὶ εὐφήμουν,
τῷ δὲ Ἀντωνίνῳ ἀμελέστερον προσεφέροντο. ἐφ' οἷς 7
ἐκεῖνος ἀγανακτῶν, καὶ διανυκτερεύσας ἐν τῷ ἱερῷ
τοῦ στρατοπέδου, πάνυ ἤσχαλλε, καὶ τοῖς στρατιώ-
ταις ὠργίζετο· ἐκέλευέ τε τοὺς παρασήμους, καὶ
ὑπερφυῶς τὸν Ἀλέξανδρον εὐφημήσαντας, τοὺς δὲ
αἰτίους δῆθεν στάσεως καὶ θορύβου, συλλαμβάνε-
σθαι πρὸς τιμωρίαν. Οἱ δὲ στρατιῶται ἐπὶ τούτῳ 8
ἀγανακτήσαντες, ἄλλως μὲν μισοῦντες τὸν Ἀντωνῖ-

νον, καὶ ἀποσκευάσασθαι θέλοντες ἀσχημονοῦντα
βασιλέα, τότε δὲ καὶ τοῖς λαμβανομένοις ἐπαμύνειν
δεῖν ἡγούμενοι, καιρὸν εὔκαιρον καὶ πρόφασιν δικαίαν
νομίζοντες, τὸν μὲν Ἀντωνῖνον αὐτόν τε καὶ τὴν
μητέρα Σοαιμίδα, (παρῆν γὰρ, ὡς Σεβαστή τε καὶ
μήτηρ,) ἀναιροῦσι, τούς τε περὶ αὐτὸν πάντας,
ὅσοι ἔνδον κατελήφθησαν, ὑπηρέται τε καὶ συνεργοὶ
9 ἐδόκουν εἶναι τῶν ἁμαρτημάτων. τὰ δὲ σώματα τοῦ
τε Ἀντωνίνου καὶ τῆς Σοαιμίδος παρέδοσαν σύρειν
τε καὶ ἐνυβρίζειν τοῖς βουλομένοις. ἅπερ ἐπὶ πολὺ
διὰ πάσης τῆς πόλεως συρέντα τε καὶ λωβηθέντα,
εἰς τοὺς ὀχετοὺς ἀπεῤῥίφθη, τοὺς εἰς τὸν Θύβριν
ποταμὸν ῥέοντας.

10 Ἀντωνῖνος μὲν οὖν, εἰς ἕκτον ἔτος ἐλάσας τῆς βασιλείας, καὶ χρησάμενος τῷ προειρημένῳ βίῳ, οὕτως ἅμα τῇ μητρὶ κατέστρεψεν. οἱ δὲ στρατιῶται αὐτοκράτορα τὸν Ἀλέξανδρον ἀναγορεύσαντες, εἰς τὰ βασίλεια ἀνήγαγον, κομιδῇ νέον, καὶ πάνυ ὑπὸ τῇ μητρὶ καὶ τῇ μάμμῃ παιδαγωγούμενον.

# ΗΡΩΔΙΑΝΟΥ

## ΙΣΤΟΡΙΩΝ

## ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

I. Ὁποίῳ μὲν δὴ τέλει ὁ δηλωθεὶς Ἀντωνῖνος ἐχρήσατο, ἐν τοῖς προειρημένοις δεδήλωται. παραλαβόντος δὲ τὴν ἀρχὴν Ἀλεξάνδρου, τὸ σχῆμα καὶ τὸ ὄνομα τῆς βασιλείας ἐκείνῳ περιέκειτο· ἡ μέντοι διοίκησις τῶν πραγμάτων καὶ ἡ τῆς ἀρχῆς οἰκονομία ὑπὸ ταῖς γυναιξὶ διῳκεῖτο· ἐπί τε τὸ σωφρονέστερον καὶ σεμνότερον πάντα μετάγειν ἐπειρῶντο. 1
καὶ πρῶτον μὲν τῆς συγκλήτου Βουλῆς τοὺς δοκοῦντας καὶ ἡλικίᾳ σεμνοτάτους, καὶ βίῳ σωφρονεστάτους, ἑκκαίδεκα ἐπελέξαντο, συνέδρους εἶναι καὶ συμβούλους τοῦ βασιλέως· οὐδέ τι ἐλέγετο ἢ ἐπράττετο, εἰ μὴ κἀκεῖνοι αὐτὸ ἐπικρίναντες, σύμψηφοι ἐγένοντο. ἤρεσκέ τε τῷ δήμῳ καὶ τοῖς στρατοπέδοις, ἀλλὰ καὶ τῇ συγκλήτῳ Βουλῇ, τὸ σχῆμα τῆς βασιλείας, ἐκ τυραννίδος ἐφυβρίστου εἰς ἀριστοκρατίας τύπον μετενεχθείσης. 2

Πρῶτον μὲν οὖν τὰ ἀγάλματα τῶν θεῶν, ἅπερ ἔτυχεν ἐκεῖνος κινήσας καὶ μεταγαγὼν, ἔπεμψαν εἰς τοὺς ἀρχαίους καὶ ἰδίους ναούς τε καὶ σηκούς· τούς τε ὑπ' ἐκείνου ἀλόγως, ἢ ἐφ' οἷς εὐδοκιμήκεσαν ἁμαρτήμασιν, εἰς τιμὰς καὶ ἐξουσίας προαχθέντας, τῶν δοθέντων ἀφείλοντο, ἑκάστους κελεύσαντες εἰς τὴν προτέραν αὐτῶν ἐπανιέναι τῆς ἀξίας αἵρεσιν. 3
τάς τε πράξεις ἁπάσας καὶ τὰς διοικήσεις, τὰς μὲν πολιτικὰς καὶ ἀγοραίους, ἐνεχείρισαν τοῖς ἐπὶ λόγοις 4

εὐδοκιμωτάτοις καὶ νόμων ἐμπείροις· τὰς δὲ στρα-
τιωτικάς, τοῖς ἐξετασθεῖσί τε καὶ εὐδοκιμήσασιν ἐν
εὐτάκτοις τε καὶ πολεμικαῖς πράξεσιν. ἐπὶ πολὺ δ'
οὕτω τῆς ἀρχῆς διοικουμένης, ἡ μὲν Μαισὰ, πρεσ-
βῦτις ἤδη οὖσα, ἀνεπαύσατο τοῦ βίου· ἔτυχέ τε
βασιλικῶν τιμῶν, καὶ, ὡς νομίζουσι Ῥωμαῖοι, ἐξε-
θειάσθη.

5 Ἡ δὲ Μαμμαία, μόνη τῷ παιδὶ καταλειφθεῖσα,
ὁμοίως αὐτοῦ ἄρχειν τε καὶ κρατεῖν ἐπειρᾶτο. ἤδη
τε ὁρῶσα ἐν ἀρχῇ τὸν νεανίαν γενόμενον, καὶ δε-
δοικυῖα μὴ ἄρα ἡλικία ἀκμάζουσα, ὑπηρετούσης
ἀδείας τε καὶ ἐξουσίας, εἴς τι τῶν γενικῶν ἁμαρτη-
μάτων ἐξοκείλῃ, πανταχόθεν ἐφρούρει τὴν αὐλήν·
οὐδέ τινα εἴα προσιέναι τῷ μειρακίῳ τῶν ἐπὶ φαύλῳ
βίῳ διαβεβλημένων, μή πως τὸ ἦθος διαφθαρείη,
προκαλεσαμένων αὐτοῦ τῶν κολάκων τὰς ὀρέξεις
6 ἀκμαζούσας εἰς αἰσχρὰς ἐπιθυμίας. δικάζειν τε οὖν
αὐτὸν ἔπειθε συνεχέστατα καὶ ἐπὶ πλεῖστον τῆς ἡμέ-
ρας, ὡς ἂν ἀσχολούμενος περὶ τὰ κρείττονα καὶ τῇ
βασιλείᾳ ἀναγκαῖα, μὴ ἔχοι καιρὸν εἰς τὸ ἐπιτη-
δεύειν τι τῶν ἁμαρτημάτων. ὑπῆρχε δέ τι καὶ φυ-
σικὸν ἦθος πρᾷον καὶ ἥμερον τῷ Ἀλεξάνδρῳ εἴς τε
τὸ φιλάνθρωπον πάνυ ἐπιῤῥεπές· ὡς ἐδήλωσε καὶ
7 τῆς ἡλικίας προχωρούσης. εἰς τεσσαρεσκαιδέκατον
γοῦν ἐλάσας τῆς βασιλείας ἔτος, ἀναιμωτὶ ἦρξεν·
οὐδέ τις εἰπεῖν ἔχει ὑπ' ἐκείνου φονευθέντα. καίτοι
τινῶν, μεγίσταις αἰτίαις ὑποπεσόντων, ὅμως ἐφεί-
σατο ὡς μὴ φονεῦσαι· οὐ ῥᾳδίως τοῦτο ἄλλου βα-
σιλέως τῶν καθ' ἡμᾶς ποιήσαντος ἢ παραφυλάξαν-
τος, μετὰ τὴν Μάρκου ἀρχήν. ὑπ' Ἀλεξάνδρου δ'
οὐκ ἄν τις εἰπεῖν ἔχοι ἢ μνημονεῦσαι ἐν ἔτεσι το-
σούτοις ἀκρίτως φονευθέντα.

8 Ἠτιᾶτο δὲ καὶ τὴν μητέρα, καὶ πάνυ ἤσχαλ-
λεν, ὁρῶν αὐτὴν οὖσαν φιλοχρήματον, καὶ περὶ τοῦ-
το ὑπερφυῶς ἐσπουδακυῖαν. προσποιουμένη γὰρ
ἀθροίζειν αὐτά, ἵνα ἔχοι τοῖς στρατιώταις ἀφθόνως
καὶ ῥᾳδίως ὁ Ἀλέξανδρος χαρίζεσθαι, ἰδίᾳ ἐθησαύ-
ριζε· καὶ διέβαλλεν ἔσθ' ὅπῃ τοῦτο τὴν ἀρχήν, αὐ-

τοῦ ἄκοντός τε καὶ ἀσχάλλοντος οὐσίας τινῶν καὶ
κληρονομίας ἐξ ἐπηρείας ὑφαρπασάσης ἐκείνης.
Ἠγάγετο δ᾽ αὐτῷ καὶ γυναῖκα τῶν εὐπατριδῶν, 9
ἣν συνοικοῦσαν καὶ ἀγαπωμένην μετὰ ταῦτα τῶν
βασιλείων ἐδίωξεν· ἐνυβρίζουσά τε καὶ βασίλισσα
εἶναι θέλουσα μόνη, φθονοῦσά τε τῆς προςηγορίας
ἐκείνῃ, εἰς τοσοῦτον προεχώρησεν ὕβρεως, ὡς τὸν
πατέρα τῆς κόρης, καίτοι ὑπ᾽ Ἀλεξάνδρου γαμβροῦ
ὄντος πάνυ τιμώμενον, μὴ φέροντα τὴν Μαμμαίαν
ἐνυβρίζουσαν αὐτῷ τε καὶ τῇ θυγατρὶ αὐτοῦ, φυγεῖν
εἰς τὸ στρατόπεδον· τῷ μὲν Ἀλεξάνδρῳ χάριν εἰδό-
τα ἐφ᾽ οἷς ἐτιμᾶτο, τὴν δὲ Μαμμαίαν αἰτιώμενον
ἐφ᾽ οἷς ὑβρίζετο. ἐκείνη δὲ ἀγανακτήσασα, αὐτόν 10
τε ἀναιρεθῆναι ἐκέλευσε, καὶ τὴν κόρην ἐκβληθεῖ-
σαν τῶν βασιλείων εἰς Λιβύην ἐφυγάδευσε. ταῦτα
δὲ ἐπράττετο ἄκοντός τε καὶ ἀναγκαζομένου τοῦ
Ἀλεξάνδρου. ἦρχε γὰρ αὐτοῦ καὶ ὑπερβαλλόντως ἡ
μήτηρ, καὶ πᾶν τὸ κελευόμενον ἐκεῖνος ἐποίει. τοῦ-
το δ᾽ ἄν τις μόνον ἔσχεν ἐγκαλέσαι αὐτῷ, ὅτι δὴ
ὑπὸ περιττῆς πραότητος, καὶ αἰδοῦς πλείονος ἢ ἐχρῆν,
τῇ μητρὶ, ἐν οἷς ἀπηρέσκετο, ὅμως ἐπείθετο.
II. Ἐτῶν μὲν οὖν τρισκαίδεκα οὕτως, ὅσον ἐπ᾽ 1
αὐτῷ, τὴν βασιλείαν ἀμέμπτως διῴκησε. τῷ δὲ
τεσσαρεσκαιδεκάτῳ ἔτει αἰφνιδίως ἐκομίσθη γράμ-
ματα τῶν κατὰ Συρίαν τε καὶ Μεσοποταμίαν ἡγε-
μόνων, δηλοῦντα, ὅτι Ἀρταξέρξης ὁ Περσῶν βα-
σιλεὺς, μετὰ τὸ Παρθυαίους καθελεῖν, καὶ τῆς κα-
τὰ τὴν ἀνατολὴν ἀρχῆς παραλῦσαι, Ἀρτάβανόν τε,
τὸν πρότερον καλούμενον τὸν μέγαν βασιλέα, καὶ
δυσὶ διαδήμασι χρώμενον, ἀποκτεῖναι, πάντα τε τὰ
περίοικα βάρβαρα χειρώσασθαι, καὶ εἰς φόρου συν-
τέλειαν ὑπαγαγέσθαι, οὐχ ἡσυχάζει, οὐδ᾽ ἐντὸς Τί-
γριδος ποταμοῦ μένει, ἀλλὰ τὰς ὄχθας ὑπερβαίνων
καὶ τοὺς τῆς Ῥωμαίων ἀρχῆς ὅρους, Μεσοποταμίαν
τε κατατρέχει, καὶ Σύροις ἀπειλεῖ· πᾶσάν τε τὴν 2
ἀντικειμένην ἤπειρον Εὐρώπῃ, καὶ διαιρουμένην
Αἰγαίῳ τε καὶ τῷ πορθμῷ τῆς Προποντίδος, Ἀσίαν
τε πᾶσαν καλουμένην, προγονικὸν κτῆμα ἡγούμενος,

τῇ Περσῶν ἀρχῇ ἀνακτήσασθαι βούλεται· φάσκων ἀπὸ Κύρου, τοῦ πρώτου τὴν ἀρχὴν ἐκ Μήδων εἰς Πέρσας μεταστήσαντος, μέχρι Δαρείου, τοῦ τελευταίου Περσῶν βασιλέως, (οὗ τὴν ἀρχὴν Ἀλέξανδρος ὁ Μακεδὼν καθεῖλε,) πάντα μέχρις Ἰωνίας καὶ Καρίας ὑπὸ σατράπαις Περσικοῖς διῳκῆσθαι· προσήκειν οὖν αὐτῷ, Πέρσαις ἀνανεώσασθαι πᾶσαν ὁλόκληρον, ἣν πρότερον ἔσχον, ἀρχήν.

3 Τοιαῦτα τοίνυν δηλωσάντων καὶ ἐπιστειλάντων τῶν ὑπὸ ταῖς ἀνατολαῖς ἡγεμόνων, πρὸς τὴν αἰφνίδιον καὶ παρ᾽ ἐλπίδα κομισθεῖσαν ἀγγελίαν οὐ μετρίως ὁ Ἀλέξανδρος ἐταράχθη, καὶ μάλιστα, εἰρήνῃ ἐκ παίδων ἐντραφεὶς, καὶ τῇ κατὰ τὴν πόλιν ἀεὶ σχολάσας τρυφῇ. τὰ μὲν οὖν πρῶτα ἔδοξεν αὐτῷ, κοινωσαμένῳ τοῖς φίλοις, πρεσβείαν πέμψαι, καὶ διὰ γραμμάτων κωλῦσαι τὴν ὁρμὴν καὶ ἐλπίδα
4 τοῦ Βαρβάρου. ἔλεγε δὲ τὰ γράμματα, δεῖν μένειν τε αὐτὸν ἐν τοῖς τῶν ἰδίων ὅροις, καὶ μὴ καινοτομεῖν, μηδὲ ματαίαις ἐλπίσιν αἰωρούμενον, μέγαν ἐγείρειν πόλεμον, ἀγαπητῶς τε ἔχειν ἕκαστον τὰ αὑτοῦ. μηδὲ γὰρ ὁμοίαν ἔσεσθαι μάχην αὐτῷ πρὸς Ῥωμαίους, οἵαν σχεῖν πρὸς τοὺς γειτνιῶντας καὶ ὁμοφύλους Βαρβάρους. ὑπεμίμνησκε δὲ τὰ γράμματα τῶν τε τοῦ Σεβαστοῦ καὶ τοῦ Τραϊανοῦ, Λουκίου τε καὶ Σεβήρου, κατ᾽ αὐτῶν τροπαίων. τοιαῦτα μὲν δή τινα ὁ Ἀλέξανδρος ἐπιστείλας, ᾤετο πείσειν ἢ φοβήσειν εἰς τὸ ἡσυχάζειν τὸν Βάρβαρον.

5 Ὁ δ᾽ οὐδέν τι φροντίζων τῶν ἐπεσταλμένων, ὅπλοις, ἀλλ᾽ οὐ λόγοις, οἰόμενος δεῖν τὰ πράγματα διοικεῖσθαι, ἐνέκειτο ἄγων καὶ φέρων τὰ Ῥωμαίων ἅπαντα· κατατρέχων τε καὶ καθιππεύων Μεσοποταμίαν, λείας τε ἀπήλαυνε, καὶ τὰ ἐπικείμενα στρατόπεδα ταῖς ὄχθαις τῶν ποταμῶν, προασπίζοντά τε τῆς Ῥωμαίων ἀρχῆς, ἐπολιόρκει. φύσει δ᾽ ὢν ἀλαζὼν, καὶ ταῖς παρ᾽ ἐλπίδας εὐπραγίαις ἐπαιρόμενος, πάντα ῥᾳδίως χειρώσασθαι προσ-
6 εδόκα. ἦν δὲ αὐτὸν τὰ ἀναπείθοντα οὐ μικρὰ εἰς ἐπιθυμίαν ἀρχῆς μείζονος. πρῶτος γὰρ ἐτόλμησε

τῇ Παρθυαίων ἀρχῇ ἐπιθέσθαι, Πέρσαις τε τὴν
βασιλείαν ἀνανεώσασθαι. μετὰ γὰρ Δαρεῖον, τὸν
ὑπ' Ἀλεξάνδρου τοῦ Μακεδόνος τῆς ἀρχῆς παρα-
λυθέντα, παμπλείστοις ἐν ἔτεσι Μακεδόνες μὲν
καὶ οἱ Ἀλεξάνδρου διάδοχοι, τῶν ὑπὸ ταῖς ἀνατο-
λαῖς ἐθνῶν καὶ κατ' Ἀσίαν ἅπασαν, νειμάμενοι
κατὰ χώρας, ἐβασίλευσαν. ἐκείνων δὲ πρὸς ἀλλή- 7
λους διαφερομένων, πολέμοις τε συνεχέσι τῆς Μα-
κεδόνων δυνάμεως ἐξασθενούσης, πρῶτος Ἀρσά-
κης λέγεται, τὸ γένος Παρθυαῖος, ἀναπεῖσαι τοὺς
ἐπέκεινα Βαρβάρους ἀποστῆναι Μακεδόνων. περι-
θέμενός τε τὸ διάδημα ἑκόντων Παρθυαίων καὶ τῶν
προσχώρων Βαρβάρων, αὐτός τε ἐβασίλευσε, καὶ
τοῖς ἐξ ἐκείνου τοῦ γένους ἐπὶ πλεῖστον παρέμενεν
ἡ ἀρχή, μέχρις Ἀρταβάνου τοῦ καθ' ἡμᾶς γενο-
μένου, ὃν Ἀρταξέρξης ἀποκτείνας, Πέρσαις τὴν
ἀρχὴν ἀνεκτήσατο, τά τε γειτνιῶντα ἔθνη Βάρβα-
ρα χειρωσάμενος, ῥᾳδίως ἤδη καὶ τῇ Ῥωμαίων ἀρ-
χῇ ἐπεβούλευσεν.

III. Ὡς δὲ τῷ Ἀλεξάνδρῳ ἐδηλώθη, διατρί- 1
βοντι ἐν τῇ Ῥώμῃ, τὰ κατὰ τὰς ἀνατολὰς ὑπὸ τοῦ
Βαρβάρου τολμώμενα, οὐκ ἀνασχετὰ ἡγούμενος, κα-
λούντων δὲ αὐτὸν καὶ τῶν ἐκεῖσε ἡγεμόνων, ἀσχάλ-
λων μὲν καὶ παρὰ γνώμην, ὅμως δ' ἔσχε περὶ ἔξο-
δον. ἔκ τε οὖν αὐτῆς Ἰταλίας καὶ τῶν ὑπὸ Ῥω-
μαίοις πάντων ἐθνῶν λογάδες ἐς τὴν στρατιὰν
ἠθροίζοντο, ὅσοι σώματος εὐεξίᾳ καὶ ἡλικίας ἀκμῇ
εἰς μάχην ἐπιτήδειοι ἐνομίζοντο. κίνησίς τε μεγί- 2
στη πᾶσι τῆς ὑπὸ Ῥωμαίοις ἐγένετο δυνάμεως,
ἰσοῤῥόπου ἀθροιζομένης πρὸς τὸ ἀγγελλόμενον τῶν
ἐπιτρεχόντων Βαρβάρων πλῆθος. ὁ δ' Ἀλέξαν-
δρος, ἀθροίσας τοὺς ἐν Ῥώμῃ στρατιώτας, συνελ-
θεῖν τε πάντας κελεύσας ἐς τὸ σύνηθες πεδίον, ἐπὶ
βήματος ἀνελθών, ἔλεξε τοιάδε·

„Ἐβουλόμην μὲν, ὦ ἄνδρες συστρατιῶται, 3
τοὺς συνήθεις πρὸς ὑμᾶς ποιεῖσθαι λόγους, δι' ὧν
αὐτός τε ἐκοσμούμην δημηγορῶν, ὑμᾶς τε ἀκούον-
τας εὔφραινον. εἰρήνης γὰρ πολυετοῦς ἀπολαύσαν-

τες, εἴ τι καινὸν νῦν ἀκούοιτε, ἴσως ἂν ὡς παρ' ἐλ-
4 πίδα λεχθέντι ἐκπλαγείητε. χρὴ δ' ἄνδρας γεν-
ναίους τε καὶ σώφρονας εὔχεσθαι μὲν ὑπάρχειν τὰ
βέλτιστα, φέρειν δὲ τὰ προςπίπτοντα. τῶν μὲν
γὰρ δι' ἡδονῆς πραττομένων ἡ ἀπόλαυσις γλυκεῖα,
τῶν δ' ἐξ ἀνάγκης κατορθουμένων ἔνδοξος ἡ ἀν-
δρεία. καὶ τὸ μὲν ἄρχειν ἀδίκων ἔργων οὐκ εὐγνώ-
μονα ἔχει τὴν πρόκλησιν, τὸ δὲ τοὺς ὀχλοῦντας
ἀποσείεσθαι ἔκ τε τῆς ἀγαθῆς συνειδήσεως ἔχει
τὸ θαῤῥαλέον, καὶ ἐκ τοῦ μὴ ἀδικεῖν, ἀλλ' ἀμύ-
5 νεσθαι, ὑπάρχει τὸ εὔελπι. Ἀρταξέρξης, ἀνὴρ
Πέρσης, τὸν ἑαυτοῦ δεσπότην Ἀρτάβανον ἀποκτεί-
νας, τήν τε ἀρχὴν εἰς Πέρσας μεταστήσας, ἀλλὰ
καὶ τῶν ὑμετέρων ὅπλων καταθαῤῥήσας, καὶ τῆς
Ῥωμαίων δόξης καταφρονήσας, πειρᾶται κατατρέ-
χειν καὶ λυμαίνεσθαι τὰ τῆς ἡμετέρας ἀρχῆς κτή-
ματα. τοῦτον ἐπειράθην τὸ μὲν πρῶτον γράμ-
μασι καὶ πειθοῖ παῦσαι τῆς ἀπλήστου μανίας καὶ
τῆς ἀλλοτρίων ἐπιθυμίας· ὁ δὲ, βαρβάρῳ φερό-
μενος ἀλαζονείᾳ, οὔτε μένειν οἴκοι βούλεται, προ-
6 καλεῖταί τε ἡμᾶς εἰς μάχην. μὴ δὴ μέλλωμεν,
μηδὲ ὀκνῶμεν· ἀλλ' οἱ μὲν πρεσβύτεροι ὑμῶν ὑπο-
μνήσατε ἑαυτοὺς τροπαίων, ἃ μετὰ Σεβήρου καὶ
Ἀντωνίνου, τοῦ ἐμοῦ πατρὸς, ἠγείρατε πολλά-
κις κατὰ Βαρβάρων· οἱ δ' ἐν ἀκμῇ ὄντες δόξης καὶ
κλέους ἐπιθυμήσατε, δείξαντες ὅτι ἄρα καὶ εἰρή-
νην ἄγειν πρᾴως καὶ μετ' αἰδοῦς ἠπίστασθε, καὶ
τὰ πολεμικὰ, τῆς χρείας ἀπαιτούσης, γενναίως κα-
7 τορθοῦτε. τὸ δὲ Βάρβαρον πρὸς μὲν τὰ ὑπείκον-
τα καὶ ὀκνοῦντα θαρσύνεται, τῷ δ' ἀντιπίπτοντι
οὐκέθ' ὁμοίως ἀντέχει· ἐπεὶ μὴ ἐκ συστάσεως αὐ-
τοῖς ἡ μάχη κατὰ τῶν ἀντιπάλων ὑπισχνεῖται τὸ
εὔελπι, ἀλλ' ἐξ ἐπιδρομῆς ἢ φυγῆς κερδαίνειν νο-
μίζουσιν, ὅπερ ἂν σχῶσι δι' ἁρπαγῆς· ἡμῖν δὲ καὶ
τὸ εὔτακτον ἅμα τῷ κοσμίῳ ὑπάρχει, καὶ νικᾷν
αὐτοὺς ἀεὶ δεδιδάγμεθα.“

1 IV. Τοιαῦτά τινα εἰπόντα τὸν Ἀλέξανδρον
πᾶς ὁ στρατὸς ἀνευφήμησε, προθυμίαν τε πᾶσαν ἐς

τὸ πολεμεῖν ὑπισχνεῖτο. ὁ δ' ἐπιδοὺς αὐτοῖς χρήματα μεγαλοφρόνως, εὐτρεπίζεσθαι τὰ πρὸς τὴν ἔξοδον ἐκέλευσε. κατελθών τε εἰς τὴν σύγκλητον Βουλὴν, καὶ τοῖς προειρημένοις ὅμοια διαλεχθεὶς, ἐπήγγειλε τὴν ἔξοδον. καταλαβούσης δὲ τῆς ὡρισμένης ἡμέ- 2
ρας, θύσας τὰς ἐπὶ ταῖς ἐξόδοις νενομισμένας ἱερουργίας, παραπεμφθείς τε ὑπὸ τῆς Συγκλήτου καὶ παντὸς τοῦ δήμου, τῆς Ῥώμης ἀπῆρεν, ἐπιστρεφόμενος ἀεὶ πρὸς τὴν πόλιν, καὶ δακρύων. ἀλλ' οὐδὲ τῶν δημοτῶν ἦν τις, ὃς ἀδακρυτὶ παρέπεμπεν αὐτόν. πόθον γὰρ ἑαυτοῦ τῷ πλήθει ἐμπεποιήκει, ἀνατραφείς τε ὑπ' αὐτοῖς καὶ μετρίως ἄρξας τοσούτων ἐτῶν. μετὰ πολλῆς δὲ σπουδῆς ποιησάμενος 3
τὴν πορείαν, τά τε Ἰλλυρικὰ ἔθνη καὶ στρατόπεδα ἐπελθὼν, πλείστην τε δύναμιν κἀκεῖθεν ἀθροίσας, εἰς τὴν Ἀντιόχειαν ἀφίκετο. ἐκεῖ δὲ γενόμενος, τὰ πρὸς τὸν πόλεμον ἐξήρτυε, γυμνάζων τε τοὺς στρατιώτας καὶ τὰ πολεμικὰ ἀσκῶν.

Ἔδοξε δὲ αὐτῷ πρεσβείαν πάλιν πέμψαι πρὸς 4
τὸν Πέρσην, καὶ περὶ εἰρήνης καὶ φιλίας διαλέγεσθαι. ἤλπιζε γὰρ αὐτὸν πείσειν ἢ φοβήσειν, αὐτὸς παρών. ὁ δὲ Βάρβαρος τοὺς μὲν πρέσβεις τῶν Ῥωμαίων ἀπέπεμψεν ἀπράκτους, αὐτὸς δὲ ἐπιλεξάμενος τετρακοσίους Περσῶν τοὺς μεγίστους, ἐσθῆσί τε πολυτελέσι καὶ χρυσῷ κεκοσμημένους, ἵππων τε καὶ τόξων παρασκευῇ, πρέσβεις ἔπεμψε δὴ πρὸς τὸν Ἀλέξανδρον, καταπλήξειν οἰηθεὶς τοὺς Ῥωμαίους τῇ τε ὄψει καὶ τῷ σχήματι τῶν Περσῶν. ἔλε- 5
γε δ' ἡ πρεσβεία, ὅτι δὴ κελεύει μέγας βασιλεὺς Ἀρταξέρξης, ἀφίστασθαι Ῥωμαίους τε καὶ τὸν ἄρχοντα αὐτῶν Συρίας τε ἁπάσης, Ἀσίας τε τῆς Εὐρώπῃ ἀντικειμένης, ἐᾶσαι δὲ ἄρχειν Πέρσας μέχρις Ἰωνίας τε καὶ Καρίας, καὶ ὅσα Αἰγαίῳ καὶ Πόντῳ ἔθνη διαιρεῖται· εἶναι γὰρ αὐτὰ Περσῶν προγονικὰ κτήματα. τοιαῦτά τινα τῶν τετρακοσίων 6
πρέσβεων ἀπαγγειλάντων, κελεύει ὁ Ἀλέξανδρος τοὺς τετρακοσίους συλληφθῆναι· καὶ περελόμενος πάσης τῆς περικειμένης σκευῆς, εἰς Φρυγίαν ἐξέ-

πεμψε, δοὺς κώμας τε οἰκεῖν, καὶ χώραν γεωρ-
γεῖν· τοσαύτην αὐτοῖς ἐπιθεὶς τιμωρίαν, ὡς οἴ-
καδε μὴ ἐπανελθεῖν. ἀποκτεῖναι γὰρ ἀνόσιον καὶ οὐ
πάνυ ἀνδρεῖον ἡγήσατο, μήτε μαχομένους, καὶ τὰ κε-
λευσθέντα ὑπὸ τοῦ ἑαυτῶν δεσπότου ἀγγείλαντας.
7 Τούτων δὴ οὕτω πραττομένων, παρασκευαζο-
μένου τε τοῦ Ἀλεξάνδρου καὶ διαβῆναι τοὺς ποτα-
μοὺς, εἴς τε τὴν βάρβαρον γῆν τὸν στρατὸν διαγα-
γεῖν, ἐγένοντό τινες καὶ ἀποστάσεις στρατιωτῶν,
ἀπό τε Αἰγύπτου ἐληλυθότων, ἀλλὰ μὴν καὶ τῶν
κατὰ Συρίαν, καινοτομῆσαί τινα ἐπιχειρησάντων
περὶ τὴν βασιλείαν· οἳ ταχέως φωραθέντες, ἐκο-
λάσθησαν. ἀλλὰ καὶ τινὰ τῶν στρατοπέδων μετέ-
στησεν ὁ Ἀλέξανδρος εἰς ἕτερα χωρία, ἐπιτηδειό-
τερα δοκοῦντα εἶναι πρὸς τὸ κωλύειν τὰς τῶν Βαρ-
βάρων ἐπιδρομάς.
1 V. Τούτων δὴ αὐτῷ διοικηθέντων, τῆς
τε στρατιᾶς παμπληθοῦς συνειλεγμένης, ὅτε δὴ
ἀντίπαλα καὶ ἰσόῤῥοπα ᾠήθη εἶναι τὰ ἑαυτοῦ
στρατεύματα τῷ πλήθει τῶν Βαρβάρων, σκεψά-
μενος σὺν τοῖς φίλοις, ἔνειμε τὸ στρατιωτικὸν εἰς
τρεῖς μοίρας· καὶ τὴν μὲν μίαν ἐκέλευσε, πρὸς τὰ
ἀρκτῷα μέρη ἀφορῶσαν, δι' Ἀρμενίας ἐπελθοῦσαν,
φιλίου Ῥωμαίοις δοκούσης, κατατρέχειν τὴν Μή-
2 δων χώραν· τὴν δὲ ἑτέραν ἔπεμψε πρὸς τὰ ἑῷα
μέρη τῆς βαρβάρου γῆς βλέπουσαν, ἔνθα συῤῥέον-
τας τὸν Τίγρητα καὶ τὸν Εὐφράτην ἕλη πυκνότα-
τα ὑποδέχεσθαι λέγουσι, καὶ λανθάνειν ποταμῶν
ἐκείνων μόνων διὰ τοῦτο τὰς ἐκβολάς· τὴν δὲ τρί-
την μοῖραν καὶ γενναιοτάτην τοῦ στρατοῦ αὐτὸς
ἔχων, ὑπέσχετο ἐπάξειν τοῖς Βαρβάροις κατὰ μέ-
σην τὴν πορείαν. οὕτω γὰρ ᾤετο διαφόροις ἐφόδοις
ἀφυλάκτως τε καὶ ἀπροόπτως αὐτοῖς ἐπελεύσε-
σθαι, καὶ τὸ πλῆθος τῶν Περσῶν ἀεὶ πρὸς τοὺς
ἐπιόντας διαιρούμενον, ἀσθενέστερόν τε ἔσεσθαι,
3 καὶ ἀτακτότερον μαχεῖσθαι. οὐ γὰρ δὴ μισθοφό-
ροις χρῶνται στρατιώταις οἱ Βάρβαροι, ὥσπερ Ῥω-
μαῖοι, οὐδὲ στρατόπεδα ἔχουσι συνεστῶτα καὶ μέ-

νοντα, πολέμου τέχναις ἐγγεγυμνασμένα· ἀλλὰ πᾶν
τὸ πλῆθος τῶν ἀνδρῶν, ἔσθ᾽ ὅπῃ καὶ τῶν γυ-
ναικῶν, ἐπὰν κελεύσῃ βασιλεὺς, ἀθροίζεται. δια-
λυθέντος δὲ τοῦ πολέμου, ἕκαστος εἰς τὰ ἑαυτοῦ
ἐπανέρχεται, τοσοῦτον ἀποκερδήσας, ὅσα ἂν ἐξ
ἁρπαγῆς αὐτῷ περιγένηται. τόξοις τε καὶ ἵπποις 4
οὐκ εἰς τὸ πολεμεῖν μόνον χρῶνται, ὥσπερ Ῥω-
μαῖοι, ἀλλ᾽ ἐκ παίδων σὺν αὐτοῖς ἀνατρέφονται,
καὶ θηρῶντες διαιτῶνται· οὔτε τὰς φαρέτρας ποτὲ
ἀποτιθέμενοι, οὔτε τῶν ἵππων ἀποβαίνοντες, ἀεὶ
δὲ αὐτοῖς χρώμενοι ἢ κατὰ πολεμίων ἢ κατὰ θηρίων.

Ἀλέξανδρος μὲν οὖν, ὡς ᾤετο, ἄριστα βε-
βούλευτο· ἔσφηλε δὲ αὐτοῦ τὴν γνώμην ἡ τύχη.
τὸ μὲν γὰρ πεμφθὲν δι᾽ Ἀρμενίας στρατιωτικὸν, 5
μόλις καὶ χαλεπῶς ὑπερβαλὸν τὰ τῆς χώρας ὄρη,
τραχύτατά τε ὄντα καὶ κρημνωδέστατα, (πλὴν ἔτι
θέρους ὄντος ἀνεκτὴν εἶχε τὴν πορείαν,) ἐμβα-
λὸν εἰς τὴν Μήδων χώραν, ἐπόρθει τε αὐτὴν, καὶ
πολλὰς ἐνέπρησε κώμας, λείαν τε ἀπήγαγεν. ὁ δὲ
Πέρσης μαθὼν, ἐπήμυνε κατὰ δύναμιν· ἀπείργειν
δὲ τοὺς Ῥωμαίους οὐ πάνυ τι ἐδύνατο. τραχεῖα 6
γὰρ οὖσα ἡ χώρα τοῖς μὲν πεζοῖς καὶ τὴν βάσιν εὐ-
παγῆ καὶ τὴν πορείαν εὐμαρῆ παρεῖχεν· ἡ δ᾽ ἵππος
τῶν Βαρβάρων, ὑπὸ τῆς τῶν ὀρῶν τραχύτητος,
ὁμοῦ καὶ πρὸς δρόμον ἐπείχετο, καὶ καθιππεύειν ἢ
ἐπιέναι ἐκωλύετο. ἧκον δέ τινες ἀγγέλλοντες τῷ
Πέρσῃ, ὡς ἄρα φαίνοιτο Ῥωμαίων στρατὸς ἕτερος
ἐν τοῖς ἑῴοις μέρεσι Παρθυαίων, τά τε πεδία κατα-
τρέχουσι. διόπερ φοβηθεὶς ἐκεῖνος, μὴ τὰ ἐν Πάρ- 7
θοις ῥᾳδίως λυμηνάμενοι, εἰς Πέρσας ἐμβάλωσι,
καταλιπών τινα δύναμιν, ὅσην αὐτάρκη ᾤετο ῥύε-
σθαι Μηδίαν, αὐτὸς σὺν παντὶ τῷ στρατῷ εἰς τὰ
ἑῷα μέρη ἠπείγετο. ἡ δὲ τῶν Ῥωμαίων στρατιὰ
τὴν πορείαν ἀμελέστερον ἐποιεῖτο, μήτε τινὸς φαι-
νομένου, μήτε ἀνθεστῶτος· ἤλπιζέ τε τὸν Ἀλέ-
ξανδρον σὺν τρίτῃ μοίρᾳ, γενναιοτάτῃ οὔσῃ καὶ με-
γίστῃ, εἰς μέσους ἐμβεβληκέναι τοὺς Βαρβάρους·
κἀκείνους, ἀνθελκομένους ἀεὶ πρὸς τὸ ἐνοχλοῦν,

σχολαιτέραν αὐτοῖς καὶ ἀδεεστέραν παρέξειν τὴν
8 ἔφοδον. προείρητο γὰρ πᾶσι τοῖς στρατοῖς ὑπερ-
τρέχειν, καὶ τόπος ὥριστο, εἰς ὃν αὐτοὺς συνελθεῖν
ἔδει, πάντα τὰ ἐμπίπτοντα καὶ ἐν μέσῳ χειρου-
μένους. ἔσφηλε δὲ αὐτοὺς ὁ Ἀλέξανδρος, μήτε
εἰσαγαγὼν τὸν στρατόν, μήτε εἰσελθών, ἢ διὰ δέος,
ἵνα μὴ δὴ αὐτὸς κινδυνεύοι ψυχῇ καὶ σώματι ὑπὲρ
τῆς Ῥωμαίων ἀρχῆς, ἢ τῆς μητρὸς ἐπισχούσης γυ-
9 ναικείᾳ δειλίᾳ καὶ ὑπερβαλλούσῃ φιλοτεκνίᾳ. ἤμβλυνε
γὰρ αὐτοῦ τὰς πρὸς ἀνδρείαν ὁρμάς, πείθουσα
δεῖν ἄλλους ὑπὲρ αὐτοῦ κινδυνεύειν, ἀλλὰ μὴ αὐτὸν
παρατάττεσθαι· ὅπερ τὸν εἰσελθόντα Ῥωμαίων
στρατὸν ἀπώλεσεν. ὁ γὰρ Πέρσης σὺν πάσῃ τῇ
δυνάμει ἐπελθών, οὐ προσδοκῶντος τοῦ στρατοῦ,
ἐκπεριελθών, καὶ ὥσπερ σαγηνεύσας, πανταχόθεν
τε τοξεύων, διέφθειρε τὴν δύναμιν τῶν Ῥωμαίων,
ὀλίγων τε πρὸς πολλοὺς ἀνθίστασθαι μὴ δυναμένων,
καὶ ἀεὶ τὰ γυμνὰ ἑαυτῶν, εἰς ἃ ἐτοξεύοντο, φρατ-
10 τόντων τοῖς ὅπλοις· (ῥύεσθαι γὰρ αὐτοῖς τὰ σώ-
ματα, οὐ μάχεσθαι, ἀγαπητὸν ἦν·) ἔστε δὴ πάντες
ἐς τὸ αὐτὸ συναλισθέντες, καὶ τῇ τῶν ἀσπίδων προ-
βολῇ ὥσπερ τειχίσαντες, ἀπεμάχοντο ἐν σχήματι
πολιορκίας, βαλλόμενοι πανταχόθεν καὶ τιτρωσκό-
μενοι, ἀντισχόντες εἰς ὅσον ἐνεδέχετο ἀνδρείως, τὸ
τελευταῖον πάντες διεφθάρησαν. μεγίστη τε αὕτη
συμφορά, καὶ οὐ ῥᾳδίως μνημονευθεῖσα, Ῥωμαίους
ἐπέσχε, δυνάμεως μεγίστης διαφθαρείσης, γνώμῃ
καὶ ῥώμῃ μηδεμιᾶς τῶν ἀρχαίων ἀποδεούσης· τόν
τε Πέρσην εἰς ἐλπίδα μειζόνων πραγμάτων ἐτύφωσε
τηλικούτων ἔργων εὐπραγία.

1 VI. Ὡς δὲ ταῦτα τῷ Ἀλεξάνδρῳ ἐδηλώθη,
χαλεπῶς νοσοῦντι, εἴτε διὰ δυσθυμίαν, εἴτε διὰ τὴν
τοῦ ἀέρος ἀήθειαν, αὐτός τε δυσφόρως ἤνεγκε, καὶ
ὁ λοιπὸς στρατὸς ἠγανάκτησε πρὸς τὸν Ἀλέξανδρον,
καὶ ἐχαλέπαινεν, ὅτι δὴ ψευσαμένου αὐτοῦ, καὶ
μὴ τηρήσαντος τὰ συνθήματα, προδοθείη ὁ εἰσελ-
2 θὼν στρατός. πλὴν ὁ Ἀλέξανδρος, μήτε τὴν νό-
σον φέρων καὶ τὸ πνιγῶδες τοῦ ἀέρος, τοῦ τε στρα-

τοῦ παντὸς νοσοῦντος, καὶ μάλιστα τῶν Ἰλλυρικῶν στρατιωτῶν, οἳ ὑγρῷ καὶ χειμερίῳ ἀέρι ἐνειθισμένοι, τροφάς τε πλείονας συνήθως εἰςφερόμενοι, χαλεπῶς νοσοῦντες διεφθείροντο, ἐπανελθεῖν τε εἰς τὴν Ἀντιόχειαν ἐβουλεύσατο, καὶ πέμψας, τὸν ἐν Μηδίᾳ στρατὸν ἐπανελθεῖν ἐκέλευσεν. ἐκεῖνος 3
μὲν ὁ στρατὸς ἐπανιὼν, πλεῖστος ἐν τοῖς ὄρεσι διεφθάρη· καὶ ἠκρωτηριάσθησαν οὐκ ὀλίγοι ἐν δυςχειμέρῳ χώρᾳ, ὡς ὀλίγους πάνυ ἐκ πολλῶν ἐπανελθεῖν. τὸ δὲ σὺν αὑτῷ πλῆθος ὁ Ἀλέξανδρος εἰς τὴν Ἀντιόχειαν ἐπανήγαγε, πολλῶν καὶ ἐξ ἐκείνης τῆς μοίρας ἀπολωλότων· ὡς μεγίστην ἐνεγκεῖν δυςθυμίαν τῷ στρατῷ, καὶ Ἀλεξάνδρῳ ἀδοξίαν, σφαλέντι καὶ γνώμῃ καὶ τύχῃ, καὶ τῶν τριῶν μοιρῶν τοῦ στρατοῦ, ὧν ἔνειμε, τὸ πλεῖστον ἀποβαλόντι διαφόροις συμφοραῖς, νόσῳ, πολέμῳ, κρύει.

Γενόμενος δὲ ἐν τῇ Ἀντιοχείᾳ ὁ Ἀλέξανδρος, 4
αὐτός τε ῥᾳδίως ἐπεῤῥώσθη τῷ εὐψυχεῖ καὶ ἐνύδρῳ τῆς πόλεως, μετὰ τὸν ἐν Μεσοποταμίᾳ ξηρὸν αὐχμόν· τούς τε στρατιώτας ἀνεκτᾶτο, καὶ ἐφ' οἷς ἐλελύπηντο, παρεμυθεῖτο μεγαλοδωρίᾳ χρημάτων. τοῦτο γὰρ μόνον εἰς εὐνοίας ἀνάκτησιν στρατιωτῶν ἐνόμιζε φάρμακον. δύναμίν τε ἤθροιζε καὶ παρεσκεύαζεν, ὡς δὴ πάλιν ἐπάξων Πέρσαις, εἰ ἐνοχλοῖεν καὶ μὴ ἡσυχάζοιεν. ἀπηγγέλλετο δὲ 5
καὶ ὁ Πέρσης λύσας τὴν δύναμιν, καὶ ἑκάστους εἰς τὰ ἑαυτῶν ἀποπέμψας. εἰ γὰρ καὶ ἐκ τοῦ κρείττονος ὑπέρτεροι ἐδόκουν γεγενῆσθαι οἱ Βάρβαροι, πλὴν ὅμως ἐτετρύχωντο ταῖς τε κατὰ Μηδίαν πολλάκις γενομέναις συμβολαῖς, τῇ τε ἐν Παρθίᾳ μάχῃ, πολλῶν μὲν πεσόντων, παμπλείστων δὲ τετρωμένων. οὐ γὰρ ἀνάνδρως οἱ Ῥωμαῖοι ἡττήθησαν, ἀλλὰ καὶ αὐτοὶ τοὺς πολεμίους ἔσθ' ὅπῃ κακώσαντες· παρὰ τοῦτο δὲ ἀπολόμενοι, παρ' ὅσον πλήθει ἐλάττους εὑρέθησαν. ὡς, σχεδὸν ἰσαρί- 6
θμου γενομένου τοῦ ἑκατέρωθεν πεσόντος στρατοῦ, τὸ περιλειφθὲν τῶν Βαρβάρων πλήθει, ἀλλ' οὐ δυνάμει, δοκεῖ νενικηκέναι. δεῖγμα δὲ τοῦτο οὐ

μικρὸν τῆς [τῶν] Βαρβάρων κακώσεως· ἐτῶν γοῦν τριῶν ἢ τεττάρων ἡσύχασαν, οὐδ' ἐν ὅπλοις ἐγένοντο. ἅπερ μανθάνων ὁ Ἀλέξανδρος, καὶ οὗτος ἐν τῇ Ἀντιοχείᾳ διέτριβεν· εὐθυμότερος δὲ καὶ ἀδεέστερος γενόμενος, ἀνειμένης αὐτῷ τῆς περὶ τὰ πολεμικὰ φροντίδος, ταῖς τῆς πόλεως ἐσχόλαζε τρυφαῖς.

1 VII. Οἰομένου δὲ αὐτοῦ τὰ ἐν Πέρσαις ἐν εἰρήνῃ μὲν συγκείμενα ἡσυχάζειν, ἔχειν δὲ ἀνακωχὴν καὶ μέλλησιν τῷ Βαρβάρῳ πρὸς τὸ πάλιν ἐπάγειν τὸν στρατόν, ὃς ἅπαξ διαλυθεὶς οὐ ῥᾳδίως ἠθροίζετο, (ἅτε μὴ συντεταγμένος, μηδὲ συνεστώς, ἀλλ' ὄχλος μᾶλλον ἢ στρατὸς ὑπάρχων, καὶ τῶν ἐπισιτισμῶν αὐτοῖς τοσούτων ὄντων, ὅσον ἂν ἕκαστος ἀφικνούμενος πρὸς τὸ ἑαυτοῦ χρειῶδες ἐπενέγκηται, καὶ δυςαποσπάστως τε καὶ δυςόκνως καταλιπόντως τέκνα καὶ γυναῖκας καὶ τὴν οἰκείαν χώ-
2 ραν·) αἰφνιδίως ἄγγελοί τε καὶ γράμματα ἐτάραξε τὸν Ἀλέξανδρον, καὶ εἰς μείζονα φροντίδα ἐνέβαλεν, ἐπιστειλάντων αὐτῷ τῶν ἐμπεπιστευμένων τὴν Ἰλλυρίδος ἡγεμονίαν· ὅτι ἄρα Γερμανοὶ Ῥῆνον καὶ Ἴστρον διαβαίνοντες, τὴν Ῥωμαίων πορθοῦσιν ἀρχήν, καὶ τὰ ἐπὶ ταῖς ὄχθαις στρατόπεδα ἐπικείμενα, πόλεις τε καὶ κώμας πολλῇ δυνάμει κατατρέχουσιν· εἴη τε οὐκ ἐν ὀλίγῳ κινδύνῳ τὰ Ἰλλυρικὰ ἔθνη, ὁμοροῦντα καὶ γειτνιῶντα Ἰταλίᾳ·
3 δεῖσθαι τοίνυν τῆς αὐτοῦ παρουσίας, καὶ τοῦ στρατοῦ παντός, ὃς ἦν σὺν αὐτῷ. δηλωθέντα δὴ ταῦτα τόν τε Ἀλέξανδρον ἐτάραξε, καὶ τοὺς ἐκ τοῦ Ἰλλυρικοῦ στρατιώτας ἐλύπησε, διπλῇ δοκοῦντας κεχρῆσθαι συμφορᾷ, ἔκ τε ὧν πεπόνθεσαν Πέρσαις μαχόμενοι, ἔκ τε ὧν ἐπυνθάνοντο τοὺς οἰκείους ἑκάστοι ὑπὸ Γερμανῶν ἀπολωλότας. ἠγανάκτουν οὖν, καὶ τὸν Ἀλέξανδρον εἶχον ἐν αἰτίᾳ, ὡς τὰ ὑπὸ ταῖς ἀνατολαῖς δι' ἀμέλειαν ἢ δειλίαν προδεδωκότα, πρός τε τὰ ἀρκτῷα μέλλοντα καὶ ὀκνοῦντα.
4 ἦν δὲ καὶ αὐτῷ δέος τῷ Ἀλεξάνδρῳ τοῖς τε συνοῦσι φίλοις ἤδη καὶ περὶ αὐτῆς Ἰταλίας. οὐ γὰρ

ὅμοιον ἡγοῦντο τὸν ἐκ Περσῶν κίνδυνον, οἷον ἐκ Γερ-
μανῶν. οἱ μὲν γὰρ ὑπὸ ταῖς ἀνατολαῖς κατοικοῦν-
τες, μακρᾷ γῇ καὶ θαλάττῃ πολλῇ διῃρημένοι, τὴν
Ἰταλῶν χώραν μόλις ἀκούουσι· τὰ Ἰλλυρικὰ δὲ
ἔθνη, στενὰ ὄντα καὶ οὐ πολλὴν ἔχοντα τὴν ὑπὸ
Ῥωμαίοις γῆν, παρὰ τοσοῦτον ὁμόρους καὶ γείτονας
ποιεῖ Γερμανοὺς Ἰταλιώταις. ἐπαγγέλλει δὴ ἄκων 5
μὲν καὶ ἀσχάλλων τὴν ἔξοδον, πλὴν τῆς ἀνάγκης
αὐτὸν καλούσης. καταλιπὼν τε δύναμιν ὅσην αὐ-
τάρκη ᾤετο ῥύεσθαι τὰς Ῥωμαίων ὄχθας, τά τε
στρατόπεδα καὶ τὰ φρούρια ἐπιμελέστερον τειχίσας,
καὶ πληρώσας ἕκαστα τοῦ ὡρισμένου στρατοῦ, αὐ-
τὸς εἰς Γερμανοὺς ἠπείγετο ἅμα τῷ λοιπῷ πλήθει.
ἀνύσας δὲ τὴν ὁδὸν μετὰ πολλῆς σπουδῆς, ἐπέστη 6
ταῖς τοῦ Ῥήνου ὄχθαις, καὶ τὰ πρὸς τὸν Γερμα-
νικὸν πόλεμον παρεσκευάζετο. τόν τε ποταμὸν ναυσὶ
διαλαμβάνων, ὡς πρὸς ἀλλήλας συνδεθεισῶν, γεφυ-
ρωθέντα, εὐμαρῆ τὴν διάβασιν τοῖς στρατιώταις
παρέξειν ᾤετο. μέγιστοι γὰρ δὴ οὗτοι ποταμῶν ὑπ᾽
ἄρκτῳ ῥέουσι, Ῥῆνός τε καὶ Ἴστρος· ὁ μὲν Γερ-
μανούς, ὁ δὲ Παίονας παραμείβων. οἳ θέρους μὲν
ναυσίπορον ἔχουσι τὸ ῥεῖθρον, διὰ βάθος τε καὶ
πλάτος· τοῦ δὲ χειμῶνος παγέντες ὑπὸ τοῦ κρύους,
ἐν πεδίου σχήματι καθιππεύονται. ἀντιτυπὲς δὲ 7
οὕτω καὶ στεῤῥὸν γίνεται τὸ ποτὲ ῥεῖθρον, ὡς μὴ
μόνον ἵππων ὁπλαῖς καὶ ποσὶν ἀνθρώπων ἀντέχειν,
ἀλλὰ καὶ τοὺς ἀρύσασθαι θέλοντας μὴ κάλπεις ἐπ᾽
αὐτῷ μηδὲ κοῖλα σκεύη φέρειν, πελέκεις δὲ καὶ δικέλ-
λας· ἵν᾽ ἐκκόψαντες, γυμνόν τε σκεύους ἀράμενοι
τὸ ὕδωρ, φέρωσιν ὥσπερ λίθον. φύσις μὲν δὴ τῶν
ποταμῶν αὕτη.

Ὁ δὲ Ἀλέξανδρος Μαυρουσίους τε πλείστους καὶ 8
τοξοτῶν ἀριθμὸν πολὺν ἐπαγόμενος ἀπὸ τῆς ἀνατο-
λῆς, ἔκ τε τῆς Ὀσροηνῶν χώρας, καὶ εἴ τινες Παρ-
θυαίων αὐτόμολοι, ἢ χρήμασιν ἀναπεισθέντες, ἠκο-
λούθησαν αὐτῷ βοηθήσοντες, ἐξήρτυε δὴ Γερμα-
νοῖς ἀντιτάξων. μάλιστα γὰρ τοιοῦτος στρατὸς
ὀχληρὸς ἐκείνοις γίγνεται· τῶν τε Μαυρουσίων πύῤ-

ῤωθεν ἀκοντιζόντων, καὶ τὰς ἐπιδρομὰς τάς τε ἀναχωρήσεις κούφως ποιουμένων, τῶν τε τοξοτῶν ἐς γυμνὰς τὰς κεφαλὰς αὐτῶν καὶ σώματα ἐπιμήκη ῥᾷστα καὶ πόῤῥωθεν κατὰ σκοποῦ τοξευόντων. . . . ἐπέθεόν τε πρὸς τὴν συσταδὸν μάχην ἀντιτυπεῖς, καὶ ἰσόῤῥοποι πολλάκις Ῥωμαίοις ἐγένοντο.
9 Ἀλέξανδρος μὲν ἐν τούτοις ἦν· πλὴν ἔδοξεν αὐτῷ πρεσβείαν πέμψαι πρὸς αὐτούς, καὶ περὶ εἰρήνης διαλέγεσθαι. πάντα τε ὑπισχνεῖτο παρέξειν ὅσων δέονται, καὶ χρημάτων ἀφειδῶς ἔχειν. τούτῳ γὰρ μάλιστα Γερμανοὶ πείθονται, φιλάργυροί τε ὄντες, καὶ τὴν εἰρήνην ἀεὶ πρὸς Ῥωμαίους χρυσίου καπηλεύοντες· ὅθεν ὁ Ἀλέξανδρος ἐπειρᾶτο ὠνήσασθαι μᾶλλον τὰς πρὸς αὐτοὺς σπονδάς, ἢ διὰ πολέμου κινδυνεύειν.

10 Οἱ μέντοι στρατιῶται χαλεπῶς ἔφερον, διατριβῆς τε ματαίας ἐγγινομένης, καὶ μηδέν τι γενναῖον ἢ πρόθυμον εἰς τὸ πολεμεῖν παρέχοντος τοῦ Ἀλεξάνδρου, ἀλλ' ἡνιοχείαις καὶ τρυφαῖς προσέχοντος, δέον ἐπεξελθεῖν καὶ τιμωρήσασθαι Γερμανοὺς ἐπὶ τοῖς προτετολμημένοις.

1 VIII. Ἦν δέ τις ἐν τῷ στρατῷ, Μαξιμῖνος ὄνομα, τὸ μὲν γένος τῶν ἐνδοτάτω Θρᾳκῶν καὶ μιξοβαρβάρων, ἀπό τινος κώμης, ὡς ἐλέγετο· πρότερον μὲν ἐν παιδὶ ποιμαίνων, ἐν ἀκμῇ δὲ τῆς ἡλικίας γενόμενος, διὰ μέγεθος καὶ ἰσχὺν σώματος εἰς τοὺς ἱππεύοντας στρατιώτας καταταγείς· εἶτα κατ' ὀλίγον αὐτὸν χειραγωγούσης τῆς τύχης, ἐλθὼν διὰ πάσης τάξεως στρατιωτικῆς, ὡς στρατοπέδων τε
2 ἐπιμέλειαν τῶν ἐθνῶν τε ἀρχὰς πιστευθῆναι. τὸν δὴ Μαξιμῖνον τοῦτον διὰ τὴν προειρημένην στρατιωτικὴν ἐμπειρίαν ὁ Ἀλέξανδρος ἐπέστησε πάσῃ τῇ τοῦ στρατοῦ νεολαίᾳ, ὡς ἀσκοίη τε αὐτοὺς τὰ στρατιωτικά, καὶ ἐς τὸ πολεμεῖν ἐπιτηδείους παρασκευάζοι. ὁ δέ, μετὰ πάσης ἐπιμελείας ποιούμενος τὰ ἐγκεχειρισμένα, εὔνοιαν πολλὴν παρὰ τῶν στρατιωτῶν ἐκτήσατο, οὐ μόνον διδάσκων αὐτοὺς τὰ ποιητέα, ἀλλὰ καὶ τοῖς ἔργοις πάντων προηγούμε-

νος· ὡς μὴ μαθητὰς εἶναι μόνον, ἀλλὰ ζηλωτὰς
καὶ μιμητὰς τῆς ἐκείνου ἀνδρείας. ἔτι τε καὶ δώροις 3
αὐτοὺς καὶ παντοδαπαῖς τιμαῖς ᾠκειώσατο. ὅθεν οἱ
νεανίαι, ἐν οἷς ἦν τὸ πολὺ πλῆθος Παιόνων μά-
λιστα, τῇ μὲν ἀνδρείᾳ τοῦ Μαξιμίνου ἔχαιρον, τὸν
δὲ Ἀλέξανδρον ἐπέσκωπτον, ὡς ὑπὸ τῆς τε μητρὸς
ἀρχόμενον, καὶ διοικουμένων τῶν πραγμάτων ὑπ'
ἐξουσίᾳ τε καὶ γνώμῃ γυναικός, ῥαθύμως τε καὶ
ἀνάνδρως τοῖς πολεμικοῖς προσφερομένου ἐκείνου.
ὑπεμίμνησκον δὲ ἀλλήλους τῶν τε ὑπὸ ταῖς ἀνατολαῖς
διὰ μέλλησιν αὐτοῦ πταισμάτων, καὶ ὅτι μηδὲν ἀν-
δρεῖον μηδὲ νεανικὸν παρέχοιτο, εἰς Γερμανοὺς ἐλ-
θών. ὄντες οὖν καὶ ἄλλως πρὸς τὸ καινοτομεῖν ἐπι- 4
τήδειοι, καὶ τὸ μὲν παρὸν τῆς ἀρχῆς βαρὺ διὰ μῆ-
κος ἐξουσίας ἡγούμενοι, ἀκερδές τε ἤδη, πάσης
προανηλωμένης φιλοτιμίας· τὸ δὲ μέλλον καὶ προσιὸν
ἔς τε τὸ κερδαλέον αὐτοῖς εὔελπι, καὶ τῷ κτωμένῳ
παρὰ προσδοκίαν τίμιόν τε καὶ περισπούδαστον· ἐβου-
λεύσαντο ἀποσκευάσασθαι μὲν τὸν Ἀλέξανδρον, ἀνει-
πεῖν δὲ αὐτοκράτορα καὶ Σεβαστὸν τὸν Μαξιμῖνον,
συστρατιώτην τε αὐτῶν ὄντα καὶ σύσκηνον, ἔς τε
τὸν παρόντα πόλεμον δι' ἐμπειρίαν καὶ ἀνδρείαν ἐπι-
τήδειον δοκοῦντα. ἀθροισθέντες οὖν εἰς τὸ πεδίον 5
ὡπλισμένοι, ὡς δὴ ἐπὶ τὰ συνήθη γυμνάσια προελ-
θόντα, καὶ ἐπιστάντα αὐτοῖς τὸν Μαξιμῖνον, (εἴτε
ἀγνοοῦντα τὸ πραττόμενον, εἴτε καὶ λάθρα τοῦτο
προκατασκευάσαντα,) πορφύραν ἐπιβαλόντες βασιλι-
κήν, αὐτοκράτορα ἀναγορεύουσιν. ὁ δὲ τὰ μὲν 6
πρῶτα παρῃτεῖτο, καὶ τὴν πορφύραν ἀπεῤῥίπτει·
ὡς δὲ ἐνέκειντο ξιφήρεις, ἀποκτενεῖν ἀπειλοῦντες,
τοῦ παρόντος κινδύνου τὸ μέλλον προελόμενος, ἀνε-
δέξατο τὴν τιμήν, πολλάκις αὐτῷ πρότερον, ὡς ἔλε-
γε, χρησμῶν καὶ ὀνειράτων τὴν τοσαύτην τύχην
προειρηκότων· εἰπὼν πρὸς τοὺς στρατιώτας, ὅτι
ἄκων μὲν καὶ μὴ βουλόμενος ἀναδέχεται, πειθόμε-
νος τῇ ἐκείνων βουλήσει· παραγγέλλει δ' αὐτοῖς ἔρ- 7
γῳ βεβαιῶσαι τὰ δόξαντα, ἀραμένους τε τὰ ὅπλα,
σπεύδειν ἐπιστῆναι τῷ Ἀλεξάνδρῳ ἀγνοοῦντι, τὴν

φήμην φθάσαντας· ἵν᾽ ἐκπλήξαντες τοὺς συνόντας ἐκείνῳ στρατιώτας καὶ φρουροὺς τοῦ σώματος, ἢ πείσαιεν ὁμογνωμονῆσαι, ἢ ῥᾷστα βιάσαιντο ἀπαρασκεύους τῷ μηδὲν προσδοκᾶν.

8 Ὡς δ᾽ αὐτοὺς εἰς εὔνοιαν καὶ προθυμίαν πάνυ προεκαλέσατο, τά τε σιτηρέσια ἐπεδιπλασίασε, νομάς τε καὶ δόσεις μεγίστας ὑπέσχετο, τιμωρίας τε καὶ κηλῖδας πάσας αὐτοῖς ἀνῆκεν, ἐπί τε τὴν πορείαν ἐξήγαγεν· οὐ πολὺ δ᾽ ἀφειστήκει τὸ χωρίον, ἔνθα ἐσκήνου ὁ Ἀλέξανδρος καὶ οἱ σὺν αὐτῷ.

1 IX. Ὡς δ᾽ ἀπηγγέλη τὰ περὶ τοῦ Μαξιμίνου, ὁ Ἀλέξανδρος ἐν μεγίστῃ ταραχῇ γενόμενος, καὶ τῷ παραδόξῳ τῆς ἀγγελίας ἐκπλαγεὶς, προπηδήσας τῆς βασιλείου σκηνῆς ὥσπερ ἐνθουσιῶν, δακρυῤῥοῶν καὶ τρέμων, τοῦ τε Μαξιμίνου ὡς ἀπίστου καὶ ἀχαρίστου κατηγόρει, πάσας τὰς εἰς ἐκεῖνον εὐεργεσίας
2 κατατεθείσας πρὸς αὐτοῦ διηγούμενος· τούς τε νεανίας συστρατιώτας ᾐτιᾶτο, ὡς προπετῶς καὶ ἐπιόρκως ταῦτα τετολμηκότας· δώσειν τε πάντα ὑπισχνεῖτο ὧν δέοιντο, καὶ ἐπανορθώσεσθαι εἴ τι μέμφοιντο. οἱ δὲ σὺν αὐτῷ στρατιῶται ἐκείνης τῆς ἡμέρας εὐφημήσαντες αὐτὸν παρέπεμψαν, ὑποσχόμενοι παντὶ σθένει προασπίσειν αὐτοῦ. τῆς νυκτὸς δὲ διαδραμούσης, κατὰ τὸ περίορθρον ἀγγειλάντων τινῶν, ὅτι δὴ Μαξιμῖνος πρόσεισι, κόνις τε πόῤῥωθεν ἐγειρομένη φαίνεται, βοῆς τε ἦχος πλήθους ἐξακούεται, πάλιν προελθὼν ἐς τὸ πεδίον ὁ Ἀλέξανδρος, συγκαλέσας τε τοὺς στρατιώτας, ἐδεῖτο προμαχεῖν, καὶ σώζειν ὃν ἀνεθρέψαντο, καὶ ὑφ᾽ ᾧ βασιλεύοντι τεσσαρεςκαίδεκα ἔτεσιν, ἀμέμπτως βεβιώκεσαν· πάντας τε εἰς οἶκτον καὶ ἔλεον προκαλούμενος, ἐκέλευεν ὁπλίζεσθαι, καὶ ἐξελθόντας ἀν-
3 τιτάττεσθαι. οἱ δὲ στρατιῶται τὰ μὲν πρῶτα ὑπισχνοῦντο, κατ᾽ ὀλίγους δὲ ἀνεχώρουν, οὐδ᾽ ὅπλα λαβεῖν ἤθελον. οἱ δέ τινες τὸν ἔπαρχόν τε τοῦ στρατοῦ καὶ τοὺς οἰκείους Ἀλεξάνδρου ᾔτουν πρὸς ἀναίρεσιν, πρόφασιν ποιούμενοι, αἰτίους τῆς ἀποστάσεως γεγενῆσθαι. οἱ δὲ τὴν μητέρα ἐμέμφοντο ὡς φιλάρ-

γυρον, καὶ τὰ χρήματα ἀποκλείουσαν, διά τε μικρολογίαν καὶ τὸ πρὸς τὰς ἐπιδόσεις ὀκνηρὸν τοῦ Ἀλεξάνδρου μεμισημένου. καὶ μέχρι μέν τινος τοιαῦ- 4
τα διαφόρως βοῶντες προςέμενον· ὡς δὲ τοῦ Μαξιμίνου ὁ στρατὸς ἤδη τε ἐν ὄψεσιν ἦν, καὶ βοῶντες οἱ νεανίαι προὐκαλοῦντο τοὺς συστρατιώτας, καταλιπεῖν μὲν γύναιον μικρολόγον, καὶ μειράκιον μικρὸν μητρὶ δουλεῦον, προσιέναι δὲ ἀνδρὶ γενναίῳ καὶ σώφρονι, συστρατιώτῃ τε, ἐν ὅπλοις ἀεὶ καὶ πολεμικοῖς ἔργοις διῃτημένῳ· πεισθέντες οἱ στρατιῶται, τὸν μὲν Ἀλέξανδρον καταλείπουσιν, αὐτοὶ δὲ προςίασι τῷ Μαξιμίνῳ· αὐτοκράτωρ τε ὑπὸ πάντων ἐκεῖνος ἀναγορεύεται. ὁ δὲ Ἀλέξανδρος, τρέμων καὶ 5
λειποψυχῶν, μόλις εἰς τὴν σκηνὴν ἐπανέρχεται· τῇ τε μητρὶ περιπλακείς, καί, ὥς φασιν, ἀποδυρόμενός τε καὶ αἰτιώμενος, ὅτι δι' ἐκείνην ταῦτα πάσχει, ἀνέμενε τὸν φονεύσοντα. ὁ δὲ Μαξιμῖνος ὑπὸ παντὸς τοῦ στρατοῦ Σεβαστὸς προςαγορευθείς, πέμπει χιλιάρχην, ἑκατοντάρχας τέ τινας τοὺς φονεύσοντας τὸν Ἀλέξανδρον καὶ τὴν μητέρα, καὶ εἴ τινες ἀνθίσταντο τῶν σὺν αὐτῷ. οἱ δὲ ἀφικόμενοι καὶ 6
ἐπιπηδήσαντες τῇ σκηνῇ, αὐτόν τε ἀναιροῦσι καὶ τὴν μητέρα, καὶ εἴ τινες ἐδόκουν ἐκείνῳ φίλοι καὶ τίμιοι· πλὴν τῶν πρὸς ὀλίγον φυγεῖν ἢ λαθεῖν δυνηθέντων, οὓς πάντας μετ' οὐ πολὺ ὁ Μαξιμῖνος συλλαβὼν ἀπέκτεινε.

Τέλος μὲν δὴ τοιοῦτον κατέλαβε τὸν Ἀλέξανδρον 7
καὶ τὴν μητέρα, βασιλεύσαντα ἔτεσι τεσσαρεςκαίδεκα, ὅσον πρὸς τοὺς ἀρχομένους, ἀμέμπτως καὶ ἀναιμωτί. φόνων τε γὰρ καὶ ὠμότητος, ἀκρίτων τε ἔργων ἀλλότριος ἐγένετο, εἴς τε τὸ φιλάνθρωπον καὶ εὐεργετικώτερον ἐπιῤῥεπής. πάνυ γοῦν ἂν ἡ Ἀλεξάνδρου βασιλεία εὐδοκίμησεν εἰς τὸ ὁλόκληρον, εἰ μὴ διεβέβλητο αὐτῷ τὰ τῆς μητρὸς εἰς φιλαργυρίαν τε καὶ μικρολογίαν.

---

# ΗΡΩΔΙΑΝΟΥ

## ΙΣΤΟΡΙΩΝ

## ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

1 I. Τίνι μὲν βίῳ Ἀλέξανδρος ἐχρήσατο, τέλει τε
ὁποίῳ, βασιλεύσας ἐτῶν τεσσαρεςκαίδεκα, ἐν τοῖς
προειρημένοις ἐδηλώσαμεν. ὁ δὲ Μαξιμῖνος, παρα-
λαβὼν τὴν ἀρχὴν, πολλὴν τὴν μεταβολὴν ἐποιήσα-
το, τραχύτατα καὶ μετὰ πολλοῦ φόβου τῇ ἐξουσίᾳ
χρώμενος· ἔκ τε πραείας καὶ πάνυ ἡμέρου βασιλείας
εἰς τυραννίδος ὠμότητα μετάγειν πάντα ἐπειρᾶτο,
δυςμένειαν ἑαυτῷ συνειδὼς, ὅτι [δὴ] πρῶτος ἐξ εὐ-
2 τελείας τῆς ἐσχάτης εἰς τοσαύτην τύχην ἤλασε. φύ-
σει δὲ ἦν τὸ ἦθος, ὥςπερ καὶ τὸ γένος, Βάρβαρος·
τό τε φονικὸν πάτριον ἔχων καὶ ἐπιχώριον, πρό-
νοιαν ἐποιεῖτο δι᾽ ὠμότητος τὴν ἀρχὴν βεβαιῶσαι·
δεδιὼς μή τι τῇ Συγκλήτῳ καὶ τοῖς ὑπηκόοις εὐκα-
ταφρόνητος γένηται, οὐκ εἰς τὴν παροῦσαν αὐτὴν
τύχην ἀφορῶσιν, ἀλλ᾽ εἰς τὰ τῆς γενέσεως εὐτελῆ
σπάργανα. τεθρύλλητο γὰρ παρὰ πᾶσι καὶ διεβέ-
βλητο, ὅτι δὴ ποιμαίνων ἐν τοῖς Θρακίοις ὄρεσιν,
ἐπιδοὺς τε αὐτὸν διὰ μέγεθος καὶ ἰσχὺν σώματος εἰς
εὐτελῆ καὶ ἐπιχώριον στρατείαν, ὑπὸ τῆς τύχης ἐπὶ
3 τὴν Ῥωμαίων ἀρχὴν κεχειραγώγητο. εὐθέως οὖν
τούς τε φίλους πάντας, οἳ συνῆσαν τῷ Ἀλεξάνδρῳ,
σύνεδροί τε ὑπὸ τῆς συγκλήτου Βουλῆς ἐπιλεχθέντες,
ἀπεσκευάσατο· καὶ οὓς μὲν εἰς τὴν Ῥώμην ἀπέ-
πεμψε, τινὰς δὲ ἐπὶ προφάσει διοικήσεως ἀπεσείσα-

το· μόνος εἶναι βουλόμενος ἐν τῷ στρατῷ, καὶ μη-
δένα αὐτῷ παρεῖναι ἐκ συνειδήσεως εὐγενοῦς κρείτ-
τονα, ἀλλ' ἵν' ὥσπερ ἐξ ἀκροπόλεως, μηδενὸς αὐτῷ
παρόντος, ᾧ νέμειν αἰδῶ ἀνάγκην ἔχοι, τοῖς τυραν-
νίδος ἔργοις σχολάζοι. τήν τε θεραπείαν πᾶσαν, ἣ 4
συγγεγόνει τῷ Ἀλεξάνδρῳ τοσούτων ἐτῶν, τῆς βα-
σιλείου αὐλῆς ἀπέπεμψε. τοὺς δὲ πλείστους αὐτῶν
καὶ ἀπέκτεινεν, ἐπιβουλὰς ὑποπτεύων· ᾔδει γὰρ
ἀλγοῦντας ἐπὶ τῇ ἐκείνου ἀναιρέσει.

Ἔτι δὲ καὶ μᾶλλον αὐτὸν εἰς ὠμότητα καὶ τὴν
πρὸς ἅπαντας ὀργὴν προὐκαλέσατο συνωμοσία τις
διαβληθεῖσα κατ' αὐτοῦ συγκροτουμένη, πολλῶν τε
ἑκατοντάρχων συμπνεόντων, καὶ τῶν ἀπὸ τῆς Βου-
λῆς ἁπάντων. Μάγνος τις ὄνομα ἦν τῶν εὐπατρι- 5
δῶν τε καὶ ὑπατευκότων· οὗτος διεβλήθη συνάγειν
κατ' αὐτοῦ χεῖρα, καὶ στρατιώτας τινὰς πείθειν,
εἰς αὐτὸν τὴν ἀρχὴν μετάγειν. ἡ δὲ συσκευὴ τοιαύ-
τη τις ἐλέγετο ἔσεσθαι. γεφυρώσας τὸν ποταμὸν ὁ
Μαξιμῖνος ἔμελλεν ἐπὶ Γερμανοὺς διαβήσεσθαι. ἅμα 6
γὰρ τῷ τὴν ἀρχὴν παραλαβεῖν, εὐθέως πολεμικῶν
ἔργων ἤρξατο, καὶ διὰ σώματος μέγεθος καὶ ἰσχὺν
στρατιωτικὴν καὶ ἐμπειρίαν πολεμικὴν δοκῶν ἐπιλε-
λέχθαι, ἔργοις τὴν δόξαν καὶ τὴν τῶν στρατιωτῶν
ὑπόληψιν ἐπιστοῦτο· τήν τε Ἀλεξάνδρου μέλλησιν,
καὶ τὴν πρὸς τὰ πολεμικὰ ἔργα δειλίαν, ἐλέγχειν
ἐπειρᾶτο εἰκότως κατεγνωσμένην. ἀσκῶν τε οὖν καὶ
γυμνάζων τοὺς στρατιώτας οὐ διέλειπεν, αὐτός τε
ἐν ὅπλοις ὢν καὶ τὸν στρατὸν ἀεὶ παρορμῶν. τότε 7
τοίνυν τὴν γέφυραν ζεύξας, ἔμελλεν ἐπὶ Γερμανοὺς
διαβήσεσθαι. ὁ δὲ Μάγνος ἐλέγετο στρατιωτῶν οὐκ
ὀλίγους, ἀλλὰ τοὺς ἐξοχωτάτους, καὶ μάλιστα τοὺς
τὴν φρουρὰν τῆς γεφύρας καὶ τὴν ἐπιμέλειαν πε-
ποιημένους, ἀναπεῖσαι, μετὰ τὸ διαβῆναι τὸν Μα-
ξιμῖνον, λύσαντας τὴν γέφυραν, προδοῦναι τοῖς
Βαρβάροις, οὐχ ὑπαρχούσης αὐτῷ ἐπανόδου. πλά-
τει γὰρ καὶ βάθει μέγιστος ὁ ποταμὸς ῥέων, ἄβα-
τος αὐτῷ ἐγίνετο, οὔτε νεῶν οὐσῶν ἐν ταῖς πολε-
μίαις ὄχθαις, τῆς γεφύρας λυθείσης. ἡ μὲν τῆς 8

διαβολῆς φήμη τοιαύτη ἐγένετο, εἴτε ἀληθὴς ὑπάρξασα, εἴτε ὑπὸ τοῦ Μαξιμίνου συσκευασθεῖσα· ἀκριβὲς δὲ εἰπεῖν οὐ ῥᾴδιον, ἐπεὶ ἔμενεν ἀνεξέλεγκτος. μήτε γὰρ κρίσει τινὶ μεταδούς, μήτε ἀπολογίᾳ, πάντας οὓς ὑπώπτευεν, αἰφνιδίως συναρπασθέντας, ἀφειδῶς ἐφόνευσεν.

9 Ἐγένετο δέ τις καὶ Ὀσροηνῶν τοξοτῶν ἀπόστασις, οἳ πάνυ ἀλγοῦντες ἐπὶ τῇ Ἀλεξάνδρου τελευτῇ, περιτυχόντες τῶν ἀπὸ ὑπατείας καὶ φίλων Ἀλεξάνδρου τινί, (Κουαρτῖνος δὲ ἦν ὄνομα, ὃν Μαξιμῖνος ἐκπέμψας ἦν τοῦ στρατοῦ,) ἁρπάσαντες, ἄκοντα καὶ οὐδὲν προειδότα, στρατηγὸν ἑαυτῶν κατέστησαν· πορφύρᾳ τε καὶ πυρὶ πομπεύοντα, ὀλεθρίοις τιμαῖς, ἐκόσμησαν, ἐπί τε τὴν ἀρχὴν ἦγον, οὔτι βουλόμε-
10 νον. ἐκεῖνος μὲν οὖν ἐν τῇ σκηνῇ καθεύδων, ἐπιβουλευθεὶς νύκτωρ αἰφνιδίως ἀνῃρέθη ὑπό του, συνόντος αὐτῷ καὶ δοκοῦντος φίλου, τῶν τε Ὀσροηνῶν πρότερον ἡγουμένου· Μακεδὼν ἦν ὄνομα αὐτῷ· καίτοι τῆς ἁρπαγῆς καὶ τῆς ἀποστάσεως ἀρχηγοῦ καὶ ὁμογνώμονος τοῖς Ὀσροηνοῖς γενομένου· ὃς οὐδεμίαν αἰτίαν ἔχθρας οὔτε μίσους ἔχων, ἀπέκτεινεν αὐτὸς ὃν ἥρπασέ τε καὶ ἀνέπεισεν· οἰόμενός τε μεγάλα χαρίζεσθαι τῷ Μαξιμίνῳ, τὴν κεφαλὴν ἀποτεμών, ἐκόμισεν.

11 Ὁ δὲ ἥσθη μὲν ἐπὶ τῷ ἔργῳ, στερηθεὶς δὲ πολεμίου, ὡς ᾤετο, ἐκεῖνον μὲν, καίτοι μεγάλα ἐλπίζοντα, καὶ δοκοῦντα ἀμοιβῆς ἐξαιρέτου τεύξεσθαι, ἀπέκτεινεν, ὡς καὶ τῆς ἀποστάσεως γεγονότα ἀρχηγόν, καὶ ἀποκτείναντα ὃν αὐτὸς ἄκοντα ἀνέπεισεν,
12 ἄπιστόν τε γενόμενον περὶ τὸν φίλον. τοιαῦται μὲν δή τινες αἰτίαι ἔτι μᾶλλον εἰς τραχύτητα καὶ ὠμότητα ἠκόνησαν τὴν τοῦ Μαξιμίνου ψυχήν, καὶ πρότερον οὕτω πεφυκυῖαν. ἦν δὲ καὶ τὴν ὄψιν φοβερώτατος, καὶ μέγιστος τὸ σῶμα· ὡς μὴ ῥᾳδίως αὐτῷ τινὰ μήτε Ἑλλήνων τῶν σωμασκούντων, μήτε Βαρβάρων τῶν μαχιμωτάτων ἐξισοῦσθαι.

II. Διοικήσας δὲ τὰ προειρημένα, πάντα τε 1
τὸν στρατὸν ἀναλαβὼν, καὶ διαβὰς ἀφόβως τὴν γέφυραν, εἴχετο τῆς πρὸς τοὺς Γερμανοὺς μάχης. μέγα δέ τι πλῆθος καὶ σχεδὸν ἅπασαν τὴν Ῥωμαίων δύναμιν σὺν ἑαυτῷ εἰσήγαγε, Μαυρουσίων τε ἀκοντιστῶν ἀριθμὸν πάμπλειστον, καὶ τοξοτῶν Ὀσροηνῶν τε καὶ Ἀρμενίων, (ὧν ἦσαν οἱ μὲν ὑπήκοοι, οἱ δὲ φίλοι καὶ σύμμαχοι,) καὶ εἴ τινες Παρθυαίων ἢ χρήμασι πεισθέντες καὶ αὐτομολήσαντες,
ἢ ληφθέντες αἰχμάλωτοι, Ῥωμαίοις ἐδούλευον. τὰ 2
δὲ πλήθη ταῦτα τοῦ στρατοῦ καὶ πρότερον ὑπὸ Ἀλεξάνδρου ἤθροιστο, ηὐξήθη δὲ ὑπὸ τοῦ Μαξιμίνου, καὶ εἰς πολεμικὴν ἄσκησιν συγκεκρότητο. μάλιστα δὲ οἱ ἀκοντισταὶ καὶ οἱ τοξόται πρὸς τὰς Γερμανῶν μάχας ἐπιτήδειοι δοκοῦσιν, ἐπιτρέχοντές τε αὐτοῖς κούφως οὐ προσδοκῶσι, καὶ ἀναχωροῦντες ῥᾳδίως.
γενόμενος δὲ ἐν τῇ πολεμίᾳ Μαξιμῖνος, πολλὴν γῆν 3
ἐπῆλθεν, οὐδενὸς αὐτῷ ἀνθεστῶτος, ἀλλὰ τῶν Βαρβάρων ἀνακεχωρηκότων. ἐδῄου τε οὖν πᾶσαν τὴν χώραν, μάλιστα τῶν ληΐων ἀκμαζόντων· τάς τε κώμας ἐμπιπρὰς, διαρπάζειν ἐδίδου τῷ στρατῷ. εὐμαρέστατα γὰρ τὸ πῦρ ἐπινέμεται τάς τε πόλεις αὐ-
τῶν, ἃς ἔχουσι, καὶ τὰς οἰκήσεις ἁπάσας. λίθων 4
μὲν γὰρ παρ᾽ αὐτοῖς ἢ πλίνθων ὀπτῶν σπάνις, ὗλαι δ᾽ εὔδενδροι· ὅθεν ξύλων οὔσης ἐκτενείας, συμπηγνύντες αὐτὰ καὶ ἁρμόζοντες, σκηνοποιοῦνται. ὁ δὲ Μαξιμῖνος ἐπὶ πολὺ μὲν προεχώρησε, πράττων τε τὰ προειρημένα καὶ λείας ἀπελαύνων, διδούς τε
τὰς ἀγέλας τῷ στρατῷ, αἷς περιετύγχανον. οἱ δὲ 5
Γερμανοὶ ἀπὸ μὲν τῶν πεδίων, καὶ εἴ τινες ἦσαν χῶραι ἄδενδροι, ἀνακεχωρήκεσαν, ἐν δὲ ταῖς ὕλαις ἐκρύπτοντο· περί τε τὰ ἕλη διέτριβον, ὡς ἐκεῖ τὰς μάχας καὶ τὰς ἐφόδους ποιοῖντο, τῆς συνεχείας τῶν φυτῶν ἀπασχολούσης εἰς ἑαυτὴν τὰ βέλη καὶ τὰ ἀκόντια τῶν πολεμίων· τοῦ τε ἀγχιβαθοῦς τῶν ἑλῶν, Ῥωμαίοις μὲν δι᾽ ἄγνοιαν τῶν τόπων ἐπισφαλοῦς ἐσομένου, ἑαυτοῖς δὲ, δι᾽ ἐμπειρίαν τῆς χώρας, ἐγνωκόσιν ἄβατα καὶ ἀντιτυπῆ τῶν τόπων, ἔς γόνυ

6 τε βρεχομένοις διατρέχειν ῥᾳδίου. εἰσὶ δὲ καὶ πρὸς
τὸ νήχεσθαι ἐγγεγυμνασμένοι, ἅτε μόνῳ λουτρῷ τοῖς
ποταμοῖς χρώμενοι.
Περὶ ἐκεῖνα οὖν μάλιστα τὰ χωρία αἱ συμβολαὶ
ἐγίνοντο. ἔνθα καὶ γενναιότατα αὐτὸς ὁ βασιλεὺς
τῆς μάχης ἦρξεν. ἐπὶ γάρ τινι ἕλει μεγίστῳ, τῶν
μὲν Γερμανῶν ἐς αὐτὸ ἀναχωρούντων εἰς φυγήν, εἰς
δίωξιν δὲ Ῥωμαίων ἐπεισελθεῖν ὀκνούντων, πρῶτος
ὁ Μαξιμῖνος ἅμα τῷ ἵππῳ ἐμβαλὼν εἰς τὸ ἕλος,
καίτοι ὑπὲρ γαστέρα τοῦ ἵππου βρεχομένου, τοὺς
7 ἀνθεστῶτας ἐφόνευσε Βαρβάρους· ὡς τὸν λοιπὸν
στρατὸν αἰδεσθέντα προδοῦναι μαχόμενον ὑπὲρ αὐ-
τῶν βασιλέα, τολμῆσαί τε καὶ τοῖς ἕλεσιν ἐπεισελ-
θεῖν, πολὺ δέ τι πλῆθος ἑκατέρωθεν πεσεῖν, καὶ
Ῥωμαίων μὲν . . , τῶν δὲ Βαρβάρων σχεδὸν τὴν
τότε παροῦσαν δύναμιν, ἀριστεύοντος αὐτοῦ· ὡς
τό τε ἕλος σωμάτων πληρωθῆναι, τήν τε λίμνην
αἵματι κερασθεῖσαν, πεζομαχοῦντι στρατῷ ναυμα-
8 χίας ὄψιν παρασχεῖν. ταύτην τὴν μάχην καὶ τὴν
ἀριστείαν αὐτοῦ οὐ μόνον διὰ γραμμάτων τῇ τε
Συγκλήτῳ καὶ τῷ δήμῳ ἐδήλωσεν, ἀλλὰ καὶ γραφῆ-
ναι κελεύσας μεγίσταις εἰκόσιν ἀνέθηκε πρὸ τοῦ βου-
λευτηρίου· ἵνα μὴ μόνον ἀκούειν τὰ γενόμενα, ἀλ-
λὰ καὶ βλέπειν ἔχωσι Ῥωμαῖοι. τὴν δ᾽ εἰκόνα ὕστε-
ρον καθεῖλεν ἡ Σύγκλητος μετὰ τῶν λοιπῶν αὐτοῦ
τιμῶν. γεγόνασι δὲ καὶ ἕτεραι συμβολαί, ἐν αἷς ὡς
αὐτουργός τε καὶ αὐτόχειρ τῆς μάχης, ἀριστεύων
9 τε πανταχοῦ ἐπῃνεῖτο. πολλοὺς δὲ χειρωσάμενος αὐ-
τῶν αἰχμαλώτους, καὶ λείαν ἀπελάσας, χειμῶνος
ἤδη καταλαμβάνοντος, ἐπανῆλθεν εἰς Παίονας· ἔν
τε Σιρμίῳ διατρίβων, τῇ μεγίστῃ ἐκεῖ πόλει δοκού-
σῃ, τὰ πρὸς τὴν εἴσοδον εἰς τὸ ἔαρ παρεσκευάζετο.
ἠπείλει γὰρ (καὶ ποιήσειν ἔμελλεν) ἐκκόψειν τε καὶ
ὑποτάξειν τὰ μέχρις Ὠκεανοῦ Γερμανῶν ἔθνη βάρ-
βαρα.

1 III. Τὰ μὲν οὖν πολεμικὰ τοιοῦτος ἦν· καὶ
εἰς δόξαν ἤρθη ἂν ἡ πρᾶξις αὐτοῦ, εἰ μὴ τοῖς οἰ-
κείοις καὶ τοῖς ὑπηκόοις βαρύτερος ἐγεγόνει καὶ φο-

βερώτερος. τί γὰρ ἦν ὄφελος Βαρβάρων ἀναιρουμέ-
νων, πλειόνων γενομένων φόνων ἐν αὐτῇ τῇ τε Ῥώ-
μῃ καὶ τοῖς ὑπηκόοις ἔθνεσιν; ἢ λείας [αἰχμαλώ-
τους] ἀπάγειν τῶν ἐχθρῶν, γυμνοῦντα καὶ τὰς οὐ-
σίας ἀφαιρούμενον τῶν οἰκείων; ἄνεσίς τε γὰρ πᾶσα, 2
μᾶλλον δὲ καὶ πρόκλησις δέδοτο συκοφάνταις ἐς τὸ
ἐπηρεάζειν καὶ κινεῖν πράγματα προγονικά, εἰ τύ-
χοι, καὶ ἄγνωστα καὶ ἀνεξέλεγκτα. μόνον τέ τις
κληθεὶς εἰς δικαστήριον ὑπὸ συκοφάντου, εὐθέως
ἡττημένος ἀπῄει, καὶ τῶν ὑπαρχόντων πάντων
στερηθείς. ἑκάστης γοῦν ἡμέρας ἦν ἰδεῖν τοὺς ἐχθὲς 3
πλουσιωτάτους, τῆς ἐπιούσης μεταιτοῦντας· τοσαύ-
τη τις ἦν τῆς τυραννίδος ἡ φιλοχρηματία, ἐπὶ προ-
φάσει τῆς περὶ τοὺς στρατιώτας χρημάτων συνεχοῦς
χορηγίας. ἦν δὲ καὶ τοῖς ὠσὶ κοῦφος ἐς διαβολάς,
ἡλικίας τε καὶ ἀξιώματος ἀφειδῶς ἔχων. πλείστους
γοῦν τῶν ἔθνη καὶ στρατόπεδα πεπιστευμένων, με-
τὰ ὑπατείας τιμὴν, ἢ δόξαν ἐπὶ τροπαίοις προσγενο-
μένην, ἐκ μικρᾶς καὶ εὐτελοῦς διαβολῆς ἀναρπάστους
ἐποίει. καὶ ἐκέλευσέ τε ἄνευ ὑπηρεσίας μόνους ὀχή- 4
μασιν ἐπιτεθέντας, ἄγεσθαι νύκτωρ καὶ μεθ᾽ ἡμέ-
ραν ὁδεύοντας ἐξ ἀνατολῶν ἢ δύσεως, εἰ τύχοι, ἀπό
τε μεσημβρίας, εἰς Παίονας, ἔνθα διέτριβε· σκύ-
κας δὲ καὶ ὑβρίσας, φυγαῖς ἢ θανάτοις ἐζημίου.

Ἐς ὅσον μὲν οὖν τοὺς καθ᾽ ἕνα ταῦτα ἐπράτ-
τετο, καὶ μέχρις οἰκείων ἔμενεν ἡ συμφορά, οὐ πάνυ
τι τοῖς δήμοις τῶν πόλεων ἢ τοῖς ἔθνεσι διέφερε·
τὰ γὰρ τῶν εὐδαιμονεῖν δοκούντων ἢ πλουσίων πταί- 5
σματα πρὸς τῶν ὄχλων οὐ μόνον ἀμελεῖται, ἀλλά
τινας τῶν κακοήθων καὶ φαύλων ἔσθ᾽ ὅτε καὶ εὐφραί-
νει, φθόνῳ τῶν κρειττόνων καὶ εὐτυχούντων· ἐπεὶ
δὲ ὁ Μαξιμῖνος τοὺς πλείστους τῶν ἐνδόξων οἴκων
ἐς πενίαν περιστήσας, ἃ δὴ μικρὰ καὶ ὀλίγα, οὐδ᾽
αὐτάρκη τῇ αὐτοῦ βουλήσει ᾤετο, μετῆλθεν ἐπὶ τὰ
δημόσια, καὶ εἴ τινα ἦν χρήματα πολιτικὰ εἰς εὐ-
θηνίας ἢ νομὰς τῶν πολιτῶν ἀθροιζόμενα, εἴτε
θεάτροις ἢ πανηγύρεσιν ἀνακείμενα, εἰς ἑαυτὸν με-
τῆγε· ναῶν τε ἀναθήματα, θεῶν τε ἀγάλματα,

καὶ ἡρώων τιμάς, καὶ εἴ τις ἦν κόσμος δημοσίων ἔργων, ἢ καλλωπίσματος πόλεως, ἢ ὕλης νόμισμα
6 ποιῆσαι δυναμένης, πᾶν ἐχωνεύετο. ὅπερ καὶ μάλιστα τοὺς δήμους ἐλύπησε, πένθος τε δημόσιον ἐνεποίει δίχα μάχης καὶ ἄνευ ὅπλων ὄψις πολιορκίας· ὥς τινὰς τῶν δημοτῶν καὶ χεῖρας ἀνατείνειν, καὶ τοὺς νεὼς φρουρεῖν, ἑτοίμως τε ἔχειν, πρότερον ἀναιρεθέντας πρὸ τῶν βωμῶν πεσεῖν, ἢ σκῦλα τῶν πατρίδων ἰδεῖν. ἐντεῦθεν δὴ καὶ μάλιστα κατά τε πόλεις καὶ κατὰ ἔθνη διοίδαινον τῶν ὄχλων αἱ ψυχαί. ἀπηρέσκοντό τε καὶ οἱ στρατιῶται τοῖς πραττομένοις, ὀνειδιζόντων αὐτοῖς ἐπιφθόνως συγγενῶν τε καὶ οἰκείων, ὡς δὴ δι᾽ αὐτοὺς ταῦτα πράττοντος τοῦ Μαξιμίνου.

1 IV. Αἰτίαι μὲν δὴ τοιαῦται, οὔτι γε ἄλογοι, εἰς μῖσος καὶ ἀπόστασιν τοὺς ὄχλους παρώξυνον· καὶ πάντες μὲν εὔχοντο, καὶ θεοὺς τοὺς ἀδικουμένους ἐπεκάλουν, ἄρξασθαι δὲ οὐδεὶς ἐτόλμα· ἔστε, συμπληρουμένης αὐτῷ τριετοῦς βασιλείας, ἐκ μικρᾶς καὶ εὐτελοῦς προφάσεως, (οἷα τυραννίδος σφάλματα,) πρῶτοι ὅπλα ἐκίνησαν, ἔς τε ἀπόστασιν εὐσταθῶς ὥρμησαν Λίβυες, ἐξ αἰτίας τοιᾶσδε.

2 Ἐπετρόπευέ τις τῆς Καρχηδονίας χώρας τραχύτατα, καὶ μετὰ πάσης ὠμότητος, καταδίκας τε ἐποιεῖτο, καὶ χρημάτων εἰςπράξεις, βουλόμενος εὐδοκιμεῖν παρὰ τῷ Μαξιμίνῳ. ἐκεῖνός τε γὰρ, οὓς ᾔδει ἁρμόζοντας τῇ ἑαυτοῦ γνώμῃ, ἐπελέγετο· οἵ τε προεστῶτες τοῦ ταμείου τότε, εἰ καὶ σπανίως χρηστοὶ ἐμπεπτώκεσαν, τόν τε κίνδυνον προὔπτον ἔχοντες, καὶ τὴν ἐκείνου φιλοχρηματίαν εἰδότες,
3 ἄκοντές ὅμως τοὺς λοιποὺς ἐμιμοῦντο. ὁ τοίνυν κατὰ τὴν Λιβύην ἐπίτροπος τοῖς τε ἄλλοις βιαίως προςεφέρετο, καὶ νεανίσκους τινὰς τῶν παρ᾽ ἐκείνοις εὖ γεγονότων καὶ πλουσίων, καταδίκαις περιβαλὼν, εἰςπράττειν τὰ χρήματα εὐθέως ἐπειρᾶτο, πατρῴων τε καὶ προγονικῶν οὐσιῶν αὐτοὺς ἀφαιρεῖσθαι. ἐφ᾽ οἷς ἀλγήσαντες οἱ νεανίσκοι, τὰ μὲν χρήματα αὐτῷ ἀποδώσειν ὑπέσχοντο, τριῶν ἡμερῶν

αἰτήσαντες ἀνάθεσιν· συνωμοσίαν δὲ ποιησάμενοι, πάντας τε, οὓς ᾔδεσαν ἢ πεπονθότας τι δεινόν, ἢ παθεῖν δεδοικότας, ἀναπείσαντες, κελεύουσι νύκτωρ κατελθεῖν τοὺς ἐκ τῶν ἀγρῶν νεανίσκους, ξύλα τε καὶ πελέκεις ἐπιφέρεσθαι. οἱ δὲ πεισθέντες 4
κελεύουσι τοῖς δεσπόταις, πρὸ τῆς ἕω συνῆλθον εἰς τὴν πόλιν, κρύπτοντες ὑπὸ ταῖς ἐσθῆσιν, ἃ ἔφερον αὐτοσχεδίου πολέμου ὅπλα. μέγα δέ τι πλῆθος ἠθροίσθη· φύσει γὰρ πολυάνθρωπος οὖσα ἡ Λιβύη πολλοὺς εἶχε τοὺς τὴν γῆν γεωργοῦντας. ἅμα δὲ 5
τῷ παραδραμεῖν τὸ περιόρθριον, προελθόντες οἱ νεανίσκοι, τὸ μὲν πλῆθος τῶν οἰκετῶν κελεύουσιν αὐτοῖς ἕπεσθαι, ὡς ὄντας μέρος τοῦ λοιποῦ ὄχλου· προστάξαντες, τότε ἀποκαλύπτειν ἃ ἔφερον ὅπλα, καὶ γενναίως ἀνθεστάναι, εἴ τινες ἢ στρατιωτῶν ἢ δημοτῶν αὐτοῖς ἐπίοιεν ἔκδικοι τοῦ γενησομένου ἔργου. αὐτοὶ δὲ λαβόντες ἐγχειρίδια ὑποκόλπια, 6
προσίασι τῷ ἐπιτρόπῳ, ὡς δὴ περὶ τῆς ἀποδόσεως τῶν χρημάτων διαλεξόμενοι· προσπεσόντες τε αἰφνιδίως, οὐ προσδοκῶντα παίσαντες φονεύουσι. τῶν δὲ περὶ αὐτὸν στρατιωτῶν γυμνωσάντων τὰ ξίφη, τῷ τε φόνῳ ἐπεξελθεῖν θελόντων, οἱ ἐκ τῶν ἀγρῶν κατεληλυθότες, προβαλλόμενοι τά τε ξύλα καὶ τοὺς πελέκεις, ὑπερμαχόμενοι τῶν δεσποτῶν, τοὺς ἀνθεστῶτας ῥᾳδίως ἐτρέψαντο.

V. Οὕτω δὴ προχωρήσαντος τοῦ ἔργου, οἱ 1
νεανίσκοι ἅπαξ ἐν ἀπογνώσει γενόμενοι, μόνην ᾔδεσαν ἑαυτοῖς σωτηρίαν ὑπάρχουσαν, εἰ τὰ τολμηθέντα αὐτοῖς αὐξήσαιεν ἔργοις μείζοσι, καὶ κοινωνὸν τοῦ κινδύνου τὸν ἡγούμενον τοῦ ἔθνους παραλάβοιεν, πᾶν τε τὸ ἔθνος ἀναπείσαιεν εἰς ἀπόστασιν· ὅπερ ᾔδεσαν πάλαι μὲν εὔχεσθαι μίσει Μαξιμίνου, φόβῳ δὲ κωλύεσθαι. σὺν παντὶ τοίνυν τῷ πλήθει, ἤδη 2
μεσαζούσης ἡμέρας ἐπίασιν ἐπὶ τὴν τοῦ ἀνθυπατεύοντος οἰκίαν. Γορδιανὸς μὲν ἦν ὄνομα, κλήρῳ μὲν τὴν ἀνθυπατείαν λαχών, πρεσβύτης δὲ εἰς ἔτος ἤδη περί που ὀγδοηκοστὸν ἐληλακώς· πολλῶν δὲ πρότερον ἄρξας ἐθνῶν, ἔν τε πράξεσι μεγίσταις ἐξετασθείς·

ὅθεν αὐτόν τε ἡδέως ὑποδέξεσθαι τὴν ἀρχὴν ᾤοντο, ὥςπερ κορυφαῖον τέλος τῶν προγενομένων πράξεων, τήν τε Σύγκλητον καὶ τὸν Ῥωμαίων δῆμον ἀσμένως δέξεσθαι ἄνδρα εὖ γεγονότα, καὶ ἐκ πολλῶν ἡγεμονιῶν, ὥςπερ κατ᾽ ἀκολουθίαν, ἐπὶ τοῦτο ἐλθόντα.

3 Συνέβαινε δὲ ἐκείνης τῆς ἡμέρας, ἧς ταῦτα ἐπράττετο, οἴκοι τὸν Γορδιανὸν διατρίβειν ἡσυχάζοντα, δεδωκότα τοῖς καμάτοις ἀνάπαυλαν, ἀργίαν τε ταῖς πράξεσιν. οἱ δὲ νεανίσκοι, ξιφήρεις, σὺν παντὶ τῷ πλήθει βιασάμενοι τοὺς ταῖς αὐλείαις ἐφεστῶτας, εἰςπηδήσαντες, καταλαμβάνουσιν αὐτὸν ἐπί τινος σκιμποδίου ἀναπαυόμενον· περιστάντες δὲ, χλαμύδι πορφυρᾷ περιβάλλουσι, σεβασμίαις
4 τε τιμαῖς προσαγορεύουσιν. ὁ δὲ τῷ παραδόξῳ τοῦ πράγματος ἐκπλαγείς, ἐνέδραν καὶ συσκευὴν ἐξ ἐπιβουλῆς καθ᾽ ἑαυτοῦ νομίζων, ῥίψας ἀπὸ τοῦ σκίμποδος εἰς γῆν ἑαυτόν, ἐδεῖτο φείδεσθαι γέροντος μηδὲν αὐτοὺς ἀδικήσαντος, σώζειν δὲ τὴν πίστιν καὶ τὴν εὔνοιαν τῷ βασιλεύοντι. ἐπεὶ δὲ οἱ μὲν ξιφήρεις ἐνέκειντο, ἐκεῖνος δὲ ὑπὸ δέους καὶ ἀγνοίας οὐκ ᾔδει τὸ πεπραγμένον, οὐδὲ τὸ τῆς παρούσης τύχης αἴτιον· εἷς τῶν νεανίσκων, ὃς ἦν αὐτῶν γένει καὶ δυνάμει λόγων προὔχων, τοὺς λοιποὺς κατασιγάσας, ἡσυχάζειν τε προστάξας, ἔχων πρόκωπον τὴν
5 δεξιάν, ἔλεξε πρὸς αὐτὸν τοιάδε· „Δύο κινδύνων προκειμένων, τοῦ μὲν παρόντος, τοῦ δὲ μέλλοντος, καὶ τοῦ μὲν ἤδη προδήλου, τοῦ δὲ ἐν ἀμφιβόλῳ τύχῃ, ἑλέσθαι σε δεῖ σήμερον· σώζεσθαι μεθ᾽ ἡμῶν, καὶ πιστεῦσαι σεαυτὸν ἐλπίδι κρείττονι, ᾗ πάντες πεπιστεύκαμεν, ἢ τεθνάναι ἤδη πρὸς ἡμῶν. εἰ μὲν οὖν τὰ παρόντα ἕλοιο, πολλὰ τὰ ἐφόδια εἰς ἀγαθὰς ἐλπίδας· τό τε Μαξιμίνου παρὰ πᾶσι μῖσος, πάθος τε τυραννίδος ὠμῆς ἀπαλλάξεις, καὶ ἐν ταῖς προγενομέναις πράξεσιν εὐδοκιμήσεις, ἔν τε τῇ Συγκλήτῳ καὶ τῷ Ῥωμαίων δήμῳ γνῶσις οὐκ ἄση-
6 μος καὶ τιμὴ ἔνδοξος ἀεί. ἀντειπόντι δέ σοι καὶ μὴ συμπνεύσαντι ἡμῖν, σήμερον τέλος ἐπικείσεται· ἀπολούμεθα δὲ καὶ αὐτοί, εἰ δέοι, προαπολέσαν-

τες [σέ.] ἔργον γὰρ ἡμῖν τετόλμηται μείζονος ἀπογνώσεως δεόμενον. κεῖται γὰρ ὁ τῆς τυραννίδος ὑπηρέτης, καὶ δίκας ὠμότητος παρέσχε, φονευθεὶς ὑφ᾽ ἡμῶν. ἐφ᾽ οἷς ἢν μὲν ἡμῖν συνάρῃ, καὶ κοινωνὸς τῶν κινδύνων γένῃ, αὐτός τε τῆς ἐν βασιλείᾳ τιμῆς ἀπολαύσεις, τό τε ἡμῖν προκείμενον ἔργον ἐπαινεθήσεται, καὶ οὐ κολασθήσεται."

Τοιαῦτά τινα λέγοντος τοῦ νεανίσκου, οὐκ ἀνα- 7
σχόμενον τὸ λοιπὸν πλῆθος, συνδραμόντων ἤδη καὶ πάντων τῶν κατὰ τὴν πόλιν, ἐπειδὴ διεφοίτησεν ἡ φήμη, Σεβαστὸν Γορδιανὸν ἀναγορεύει. παραιτούμενος δὲ καὶ γῆρας προϊσχόμενος ἐκεῖνος, ἄλλως δὲ φιλόδοξος ὢν, οὐδὲ ἀηδῶς ὑπέστη· ἑλόμενος μᾶλλον τὸν μέλλοντα κίνδυνον ἢ τὸν παρόντα, ἔν τε γήρᾳ ἐσχάτῳ οὐ πάνυ τι δεινὸν νομίζων, εἰ δέοι, ἐν βασιλικαῖς τιμαῖς καὶ τελευτῆσαι. πᾶν δὴ τὸ 8
Λιβύων ἔθνος εὐθέως ἐδεδόνητο, καὶ τὰς μὲν τοῦ Μαξιμίνου τιμὰς καθῄρουν, εἰκόσι δὲ καὶ ἀνδριᾶσι Γορδιανοῦ τὰς πόλεις ἐκόσμουν· τῷ τε κυρίῳ αὐτοῦ ὀνόματι προςθέντες, Ἀφρικανὸν ἐκάλεσαν ἀφ᾽ ἑαυτῶν. οὕτω γὰρ Λίβυες ὑπὸ μεσημβρίαν τῇ Ῥωμαίων φωνῇ καλοῦνται.

VI. Ὁ δὲ Γορδιανὸς ἐνδιατρίψας τῇ Θύστρῳ, 1
ἔνθα ταῦτα ἐπράχθη, ἡμερῶν τινῶν, ἤδη φέρων βασιλέως ὄνομα καὶ σχῆμα, ἀπάρας τε τῆς Θύστρου, εἰς τὴν Καρχηδόνα ἠπείχθη, ἣν ᾔδει μεγίστην τε οὖσαν καὶ πολυάνθρωπον· ἵν᾽, ὥςπερ ἐν Ῥώμῃ, πάντα πράττῃ. ἡ γοῦν πόλις ἐκείνη, καὶ δυνάμει χρημάτων καὶ πλήθει τῶν κατοικούντων καὶ μεγέθει, μόνης Ῥώμης ἀπολείπεται, φιλονεικοῦσα πρὸς τὴν ἐν Αἰγύπτῳ Ἀλεξάνδρου πόλιν περὶ δευτερείων. εἵπετο δὲ αὐτῷ πᾶσα ἡ βασιλικὴ πομπή, τῶν μὲν 2
στρατιωτῶν, οἵτινες ἦσαν ἐκεῖ, καὶ τῶν κατὰ τὴν πόλιν ἐπιμηκεστέρων νεανίσκων, ἐν σχήματι τῶν κατὰ Ῥώμην προϊόντων δορυφόρων· αἵ τε ῥάβδοι ἐδαφνηφόρουν, ὅπερ ἐστὶ σύμβολον εἰς τὸ διαγνῶναι τὰς βασιλικὰς ἀπὸ τῶν ἰδιωτικῶν· τὸ δὲ πῦρ προεπόμπευεν· ὡς ὄψιν καὶ τύχην ἔχειν πρὸς ὀλί-

γου, ὥσπερ ἐν εἰκόνι, τῆς Ῥώμης τὴν Καρχηδονίων πόλιν.

3 Ὅ τε Γορδιανὸς γράμματά τε πάμπλειστα ἐκπέμπει πρὸς ἕκαστον τῶν κατὰ τὴν Ῥώμην πρωτεύειν δοκούντων· τοῖς τε τῆς Συγκλήτου δοκιμωτάτοις ἐπιστέλλει, ὧν ἦσαν αὐτῷ πλεῖστοι φίλοι τε καὶ συγγενεῖς. ἐποίησε δὲ καὶ δημόσια γράμματα πρός τε τὸν Ῥωμαίων δῆμον καὶ τὴν Σύγκλητον, δι᾿ ὧν τήν τε Λιβύων ἐδήλου εἰς ἑαυτὸν σύμπνοιαν, τῆς τε Μαξιμίνου ὠμότητος κατηγόρει, σφοδρότα-
4 τα εἰδὼς μισουμένην· αὐτός τε πᾶσαν πρᾳότητα ὑπισχνεῖτο, συκοφάντας τε πάντας φυγαδεύων, καὶ παλινδικίαν διδοὺς τοῖς ἀδίκως κατακριθεῖσι, τούς τε φυγάδας εἰς τὰς πατρίδας ἐπανάγων· τοῖς δὲ στρατιώταις ὑπέσχετο ἐπίδοσιν χρημάτων ὅσην οὐδεὶς πρότερον, τῷ τε δήμῳ νομὰς ἐπήγγειλε. προὐνοήσατο δὲ τοῦ πρότερον ἀναιρεθῆναι τὸν κατὰ τὴν Ῥώμην τῶν στρατοπέδων προεστῶτα· Βιταλιανὸς δὲ ἦν ὄνομα αὐτῷ. τοῦτον ᾔδει τραχύτατα καὶ ὠμότατα πράττοντα, φίλτατόν τε ὄντα καὶ
5 καθωσιωμένον τῷ Μαξιμίνῳ. ὑποπτεύων οὖν, μὴ τοῖς πραττομένοις γενναίως ἀντιστῇ, καὶ τῷ ἐκείνου φόβῳ μηδεὶς αὐτῷ συνάρηται, πέμπει τὸν ταμίαν τοῦ ἔθνους, νεανίσκον φύσει εὔτολμον, καὶ τὸ σῶμα οὐκ ἀγεννῆ, καὶ τὴν ἡλικίαν ἀκμάζοντα, πρόθυμόν τε ἐς τὸν ὑπὲρ ἑαυτοῦ κίνδυνον· παραδοὺς αὐτῷ ἑκατοντάρχας καὶ στρατιώτας τινάς, οἷς ἔδωκε κατασεσημασμένα γράμματα ἐν πτυκτοῖς πίναξι, δι᾿ ὧν τὰ ἀπόῤῥητα καὶ κρυπτὰ ἀγγέλματα
6 τοῖς βασιλεῦσιν ἐπιστέλλεται. κελεύει δὲ αὐτοῖς, πρὸ τῆς ἕω εἰς τὴν Ῥώμην κατελθοῦσιν, ἐπιστῆναι ἔτι δικάζοντι καὶ ἀνακεχωρηκότι τῷ Βιταλιανῷ ἐν τῷ τοῦ δικαστηρίου οἰκίσκῳ, ἔνθα μόνος τὰ ἀπόῤῥητα καὶ κρυπτὰ δοκοῦντα ὑπὲρ σωτηρίας τοῦ βασιλέως ἠρεύνα τε καὶ ἐξήταζε, δηλῶσαί τε, ὅτι φέρουσι γράμματα πρὸς Μαξιμῖνον ἀπόῤῥητα· ἐπὶ τοῦτό τε παρά του πεμφθῆναι ὑπὲρ ἀσφαλείας
7 τοῦ βασιλέως. προσποιήσασθαι δὲ βούλεσθαι καὶ

διαλεχθῆναι αὐτῷ ἰδιαίτερον, ἀπαγγεῖλαί τε τὰ ἐντεταλμένα· διασχολουμένῳ δὲ ἐκείνῳ περὶ τὴν τῶν σφραγίδων ἐπίγνωσιν, προςποιουμένους ὡς δὴ ἐροῦντάς τι, οἷς εἶχον ὑποκολπιδίοις ξίφεσι φονεῦσαι. ἅπερ πάντα προὐχώρησεν, ὡς ἐκέλευσεν. ἔτι γὰρ νυκτὸς οὔσης, (ὥςπερ ἐκεῖνος εἰώθει πρὸ ἡμέρας προϊέναι,) ἐπέστησαν αὐτῷ ἰδιάζοντι, μηδὲ πολλοῦ πλήθους παρόντος. οἱ μὲν γὰρ οὐδὲ προεληλύθε- 8
σαν, οἱ δὲ προςαγορεύσαντες, πρὸ ἡμέρας ἀνακεχωρήκεσαν. ἡσυχίας οὖν οὔσης, ὀλίγων τε πρὸ τοῦ οἰκίσκου, δηλώσαντες αὐτῷ τὰ προειρημένα, ῥᾳδίως εἰςεδέχθησαν· ἐπιδόντες δὲ τὰ γράμματα, ἐκείνου ταῖς σφραγῖσι τὰς ὄψεις ἐπιβάλλοντος, προβαλόντες τὰ ξιφίδια καὶ παίσαντες, φονεύουσιν, ἔχοντές τε αὐτὰ πρόκωπα, προπηδῶσιν. οἱ δὲ πα- 9
ρόντες, ἐκπλαγέντες ἀνεχώρησαν, οἰόμενοι Μαξιμίνου τὴν κέλευσιν εἶναι· καὶ γὰρ ἐποίει τοῦτο πολλάκις καὶ περὶ τοὺς δοκοῦντας εἶναι φιλτάτους. κατελθόντες δὲ διὰ μέσης τῆς ἱερᾶς ὁδοῦ, προτιθέατι τὰ πρὸς τὸν δῆμαν τοῦ Γορδιανοῦ γράμματα, τοῖς τε ὑπάτοις καὶ τοῖς λοιποῖς τὰ ἐπεσταλμένα διδόασι· διασκεδάννυταί τε ὑπ᾽ αὐτῶν φήμη ὡς ἄρα καὶ Μαξιμῖνος εἴη ἀνῃρημένος.

VII. Ὡς δὲ διεφοίτησε ταῦτα, εὐθέως πᾶς 1
ὁ δῆμος, ὥςπερ ἐνθουσιῶν, διέθει πανταχοῦ. καὶ πάντες μὲν γὰρ ὄχλοι κοῦφοι πρὸς τὰ καινοτομούμενα· ὁ δὲ Ῥωμαίων δῆμος ἐν πλήθει μεγίστῳ καὶ ποικίλῳ, συγκλύδων τε ἀνθρώπων, πολὺ καὶ ῥᾴδιον ἔχει τὸ τῆς γνώμης εὐκίνητον. ἀνδριάντες 2
οὖν καὶ εἰκόνες, τιμαί τε πᾶσαι τοῦ Μαξιμίνου κατεσπῶντο· καὶ τὸ κρυπτὸν πρότερον διὰ φόβον μῖσος, ἀδεὲς καὶ αὐτεξούσιον γενόμενον, ἀκωλύτως ἐξεχεῖτο. ἥ τε Σύγκλητος συνελθοῦσα, πρὶν τὸ ἀκριβὲς εἰδέναι περὶ τοῦ Μαξιμίνου, ἐκ τῆς παρούσης τύχης τὰ μέλλοντα πιστεύσαντες, τὸν Γορδιανὸν ἅμα τῷ υἱῷ Σεβαστοὺς ἀναγορεύουσι· τὰς δὲ τοῦ Μαξιμίνου τιμὰς ἀνατρέπουσι. συκοφάνται τε 3
οὖν καὶ οἱ γενόμενοι τινῶν κατήγοροι ἢ ἔφευγον,

ἢ ὑπὸ τῶν ἀδικηθέντων ἀνῃροῦντο. ἐπίτροποί τε
καὶ δικασταί, οἱ τῆς ἐκείνου ὠμότητος ὑπηρέται,
συρέντες ὑπὸ τοῦ ὄχλου εἰς τοὺς ὀχετοὺς ἐῤῥιπτοῦντο·
φόνος τε οὐκ ὀλίγος ἐγένετο, καὶ μηδὲν ἀδικησάντων
ἀνθρώπων. δανειστὰς γὰρ ἑαυτῶν, ἢ καὶ ἀντιδί-
κους ἐν πράγμασιν ἀγοραίοις, καὶ εἴ τις πρός τινα
βραχεῖαν αἰτίαν εἶχε μίσους, ἐπαναβαίνοντες [τε]
οἰκήσεσιν ἀπροσδοκήτως, ἐπηρεάζοντες, ὡς συκο-
4 φάντας, ἐσύλησάν τε καὶ ἐφόνευσαν. ἐν προσχή-
ματι ἐλευθερίας ἀδείας τε εἰρηνικῆς ἔργα πολέμου
ἐμφυλίου ἐγίνετο· ὡς καὶ τὸν τῆς πόλεως ἐπάρ-
χοντα μετὰ πράξεις πολλὰς ὑπατικάς, (Σαβῖνος
δὲ ἦν ὄνομα αὐτῷ,) βουλόμενον κωλῦσαι τὰ γιγνό-
μενα, ξύλῳ παισθέντα κατὰ τοῦ κρανίου, τελευ-
τῆσαι.

Καὶ ὁ μὲν δῆμος ἐν τούτοις ἦν· ἡ δὲ Σύγκλη-
τος, ἅπαξ ἀναῤῥιφθέντος κινδύνου, φόβῳ τοῦ Μα-
ξιμίνου πάντα ἔπραττεν εἰς τὸ ἀποστῆσαι αὐτοῦ
5 τὰ ἔθνη. πρεσβεῖαι τοίνυν πανταχοῦ πρὸς πάντας
ἡγουμένους ἐξεπέμφθησαν, ἐπιλεχθέντων ἀνδρῶν
ἔκ τε τῆς Συγκλήτου αὐτῆς καὶ τοῦ ἱππικοῦ τά-
γματος οὐκ ἀδοκίμων· γράμματά τε πρὸς πάντας,
τὴν Ῥωμαίων καὶ τῆς Συγκλήτου γνώμην δηλοῦν-
τα, προτρέποντά τε τοὺς ἡγουμένους συναίρεσθαι
τῇ κοινῇ πατρίδι καὶ συνεδρίῳ βουλεύουσι· τὰ δ'
ἔθνη, πείθεσθαι Ῥωμαίοις, ὧν δημόσιον ἄνωθεν
τὸ κράτος ἐστίν, αὐτά τε φίλα καὶ ὑπήκοα ἐκ προ-
6 γόνων. οἱ πλεῖστοι μὲν οὖν προσήκαντο τὴν πρεσ-
βείαν· καὶ τὰ ἔθνη ἀποστήσαντες ῥαδίως μίσει
τῆς Μαξιμίνου τυραννίδος, τούς τε ἐκεῖσε πράτ-
τοντας, εἰ τὰ Μαξιμίνου φρονοῖεν, ἀποκτείναντες,
προσέθεντο Ῥωμαίοις. ὀλίγοι δέ τινες ἢ διεχρή-
σαντο τοὺς ἐλθόντας πρέσβεις, ἢ μετὰ φρουρᾶς
πρὸς ἐκεῖνον παρέπεμψαν· οὓς συλλαμβάνων, ὠμῶς
ἐκόλαζε.

Τὰ μὲν κατὰ τὴν Ῥωμαίων πόλιν τε καὶ
γνώμην τοιαῦτα ἦν.

VIII. Ὡς δ' ἀπηγγέλη τῷ Μαξιμίνῳ τὰ πεπρα- 1
γμένα, σκυθρωπός τε ἦν καὶ ἐν μεγάλαις φροντίσι·
προςεποιεῖτό τε αὐτῶν καταφρονεῖν. τῆς μὲν οὖν
πρώτης καὶ δευτέρας ἡμέρας ἔνδον ἔμεινεν ἡσυχάζων,
καὶ τοῖς φίλοις περὶ τοῦ πρακτέου κοινούμενος. τὸ 2
δὲ στρατόπεδον πᾶν τὸ σὺν αὐτῷ, οἵ τε ἐπέκεινα
πάντες ἄνθρωποι, ἔγνωσαν μὲν τὰ διαγγελθέντα,
καὶ διοίδαινον πᾶσιν αἱ ψυχαί, τηλικούτων ἔργων
εὐτόλμῳ καινοτομίᾳ· οὐδέ τις πρός τινα ἔλεγέ τι,
οὔτ' εἰδέναι τι προςεποιεῖτο. τοσοῦτος γὰρ ἦν ὁ
Μαξιμίνου φόβος, ὡς μηδὲν αὐτὸν λανθάνειν, πα-
ραφυλάττεσθαι δὲ πάντων οὐ μόνον τὰ διὰ φωνῆς
καὶ γλώττης προφερόμενα, ἀλλὰ καὶ τὰ δι' ὄψεως
νεύματα. ὁ μέντοι Μαξιμῖνος συγκαλέσας πάντα τὸν 3
στρατὸν εἰς τὸ πρὸ τῆς πόλεως πεδίον, προελθών
τε τῆς τρίτης ἡμέρας, ἀνελθών τε ἐπὶ τὸ βῆμα,
ἐπιφερόμενος τὸ βιβλίον, ὅπερ αὐτῷ ἦσαν συντάξαν-
τες τινὲς τῶν φίλων, ἐξ ἀναγνώσεως ἔλεξε τοιάδε·
„Ἄπιστα μὲν οἶδα καὶ παράδοξα λέξων πρὸς ὑμᾶς·
ὡς δὲ ἐγὼ οἴομαι, οὐ θαύματος, ἀλλὰ χλεύης καὶ
γέλωτος ἄξια. ὅπλα ἐφ' ὑμᾶς καὶ τὴν ὑμετέραν ἀν- 4
δρείαν οὐ Γερμανοὶ αἴρονται, οὓς πολλάκις ἐνικήσα-
μεν· οὐ Σαυρομάται, οἳ περὶ εἰρήνης ἑκάστοτε
ἱκετεύοντες· Πέρσαι τε, οἱ πάλαι Μεσοποταμίαν
κατατρέχοντες, νῦν ἡσυχάζουσιν, ἀγαπητῶς ἔχον-
τες τὰ ἑαυτῶν, δόξης τε τῆς ὑμετέρας ἐν τοῖς ὅπλοις
ἀρετῆς τε, πείρᾳ τῶν ἐμῶν πράξεων, ἃς ἔγνωσαν
ὅτε τῶν ἐπὶ ταῖς ὄχθαις στρατοπέδων ἡγούμην,
ἀνεχούσης αὐτούς· ἀλλὰ γὰρ (μή τι ἄρα καὶ κα-
ταγέλαστον εἰπεῖν) Καρχηδόνιοι μεμήνασι, καὶ πρεσ-
βύτην ἄθλιον, ἐν ἐσχάτῳ γήρᾳ παραφρονοῦντα,
πείσαντες ἢ βιασάμενοι, ὥςπερ ἐν πομπαῖς παίζουσι
βασιλείαν. τίνι [καὶ] θαῤῥοῦντες στρατῷ, παρ' οἷς 5
εἰς τὴν τοῦ ἡγουμένου ὑπηρεσίαν ἀρκοῦσι ῥαβδοῦχοι;
ποῖα φέροντες ὅπλα, παρ' οἷς οὐδὲν πλὴν δορατίων,
οἷς πρὸς θηρία μονομαχοῦσι; τὰ πολεμικὰ αὐτοῖς
γυμνάσια χοροὶ καὶ σκώμματα καὶ ῥυθμοί. μηδέ
τινα ὑμῶν ἐκπληττέτω τὰ κατὰ Ῥώμην ἀγγελθέντα.

6 Βιταλιανὸς μὲν ἀνῃρέθη, δόλῳ καὶ ἀπάτῃ ληφθείς. τοῦ δὲ Ῥωμαίων δήμου τὸ κοῦφον καὶ εὐμετάβολον οὐκ ἀγνοεῖτε, καὶ μέχρι βοῆς θρασύ· εἰ δύο ἢ τρεῖς ὁπλίτας ἴδοιεν μόνον, ὑπ᾽ ἀλλήλων ὠθούμενοί τε καὶ πατούμενοι, φεύγων ἕκαστος τὸν ἴδιον κίν-
7 δυνον, τοῦ κοινοῦ ἀμελῶς ἔχει. εἰ δὲ καὶ τὰ τῆς Συγκλήτου τις ὑμῖν διήγγειλε, μὴ θαυμάζετε, εἰ τὸ μὲν ἡμέτερον σῶφρον τραχὺ αὐτοῖς δοκεῖ· τὸ δ᾽ ὁμότροπον ἐν ἀκολάστῳ βίῳ ἐκείνου προτιμᾶται· καὶ τὰ μὲν ἀνδρεῖα καὶ σεμνὰ τῶν ἔργων φοβερὰ προςαγορεύουσι· τὰ δ᾽ ἀνειμένα καὶ ἐκβεβακχευμένα, ὡς ἥμερα, δι᾽ ἡδονῆς ἔχουσι. διόπερ πρὸς τὴν ἐμὴν ἀρχὴν, οὖσαν ἐπιστρεφῆ καὶ κόσμιον, ἀλλοτρίως διάκεινται· ἥσθησαν δὲ τῷ Γορδιανοῦ ὀνό-
8 ματι, οὗ τὸν διαβεβλημένον βίον οὐκ ἀγνοεῖτε. πρὸς τούτους καὶ τοιούτους ἡμῖν ὁ πόλεμος, εἴ τις οὕτως αὐτὸν καλεῖν βούλοιτο. ἐγὼ μὲν γὰρ ἡγοῦμαι, ὡς οἱ πλεῖστοι καὶ σχεδὸν πάντες, εἰ μόνον Ἰταλίας ἐπιβαίημεν, ἱκετηρίας θαλλοὺς καὶ τέκνα προτείναντας, ὑποστρώσειν αὐτοὺς τοῖς ἡμετέροις ποσίν, οἱ δὲ λοιποὶ διὰ δειλίαν καὶ φαυλότητα φεύξονται· ὡς ὑπάρξαι ἐμοί τε, ὑμῖν [καὶ] τὰ ἐκείνων πάντα δοῦναι, ὑμῖν τε, ἀδεῶς λαβοῦσι καρποῦσθαι."

9 Τοιαῦτά τινα εἰπών, βλάσφημά τε πολλὰ εἰς τὴν Ῥώμην καὶ τὴν Σύγκλητον, δι᾽ ὧν παρεφθέγγετο, ἀποῤῥίψας, ταῖς τε διὰ χειρὸς ἀπειλαῖς καὶ τραχέσι προςώπου νεύμασιν, ὡς πρὸς παρόντας, ὀργισθεὶς, ἐπαγγέλλει τὴν ἐπ᾽ Ἰταλίαν ἔξοδον. διανείμας τε αὐτοῖς πάμπλειστα χρήματα, μιᾶς ἡμέρας διαλιπών, τῆς ὁδοῦ εἴχετο, πολύ τι πλῆθος ἐπαγόμενος στρατοῦ, τήν τε ὑπὸ Ῥωμαίοις δύναμιν.
10 εἵπετο δὲ αὐτῷ καὶ Γερμανῶν οὐκ εὐκαταφρόνητος ἀριθμός, οὓς τοῖς ὅπλοις κεχείρωτο, ἢ πείσας ἐς φιλίαν καὶ συμμαχίαν ἐπῆκτο· μηχαναί τε καὶ πολεμικὰ ὄργανα, καὶ ὅσα πρὸς τοὺς Βαρβάρους ἰὼν ἐπεφέρετο. αὐτὸς μὲν σχολαιτέραν τὴν ὁδοιπορίαν ἐποιεῖτο, διὰ τὴν τῶν ὀχημάτων καὶ ἐπιτηδείων
11 πανταχόθεν συγκομιδήν. αἰφνιδίου γὰρ γενομένης

τῆς ἐπ᾽ Ἰταλίαν ὁδοῦ, οὐκ ἐκ προνοίας, ὥςπερ εἰώθει, ἀλλ᾽ ἐξ αὐτοσχεδίου καὶ ἐπειγούσης ὑπηρεσίας, τὰ χρειώδη τῷ στρατῷ ἠθροίζετο. ἔδοξεν οὖν αὐτῷ, προπέμψαι τὰς τῶν Παιόνων φάλαγγας· ἐκείνοις γὰρ μάλιστα ἐπίστευεν, οἵπερ αὐτὸν καὶ πρῶτοι ἀνεῖπον βασιλέα, ἐθελονταί τε ὑπὲρ αὐτοῦ κινδυνεύειν ὑπισχνοῦντο. ἐκέλευσεν οὖν αὐτοῖς, φθάσαι τὴν λοιπὴν δύναμιν, καὶ τὰ ἐν Ἰταλίᾳ χωρία προκαταλαβεῖν.

IX. Καὶ οἱ μὲν περὶ Μαξιμῖνον ὡδοιπόρουν· 1
ἐν δὲ τῇ Καρχηδόνι οὐχ ὡς ἠλπίκεσαν τὰ πράγματα προὐχώρει. Καπελλιανὸς γάρ ἦν τις ὄνομα, τῶν ἀπὸ Συγκλήτου· ἡγεῖτο δὲ Μαυρουσίων τῶν ὑπὸ Ῥωμαίοις, Νομάδων δὲ καλουμένων. τὸ δὲ ἔθνος στρατοπέδοις πέφρακτο, διὰ τὸ περικείμενον πλῆθος Μαυρουσίων τῶν βαρβάρων, ὡς ἂν ἐπέχοι αὐτῶν τὰς ἐξ ἐπιδρομῆς ἁρπαγάς. εἶχεν οὖν ὑφ᾽ ἑαυ- 2
τῷ δύναμιν οὐκ εὐκαταφρόνητον στρατιωτικήν. πρὸς δὴ τὸν Καπελλιανὸν τοῦτον καὶ ὁ Γορδιανὸς ἀπεχθῶς προςέκειτο ἄνωθεν, ἔκ τινος ἀγοραίου διαφορᾶς. τότε τοίνυν ἐν τῷ τῆς βασιλείας γενόμενος ὀνόματι, διάδοχόν τε αὐτῷ ἔπεμψε, καὶ τοῦ ἔθνους ἐξελθεῖν ἐκέλευσεν. ὁ δὲ πρός τε ταῦτα ἀγανακτήσας, 3
τῷ τε Μαξιμίνῳ καθοσιούμενος, ὑφ᾽ οὗ καὶ τὴν ἡγεμονίαν πεπίστευτο, πάντα τὸν στρατὸν ἀθροίσας, ἀναπείσας τε Μαξιμίνῳ τηρεῖν τὴν πίστιν καὶ τὸν ὅρκον, κατῆλθεν ἐπὶ τὴν Καρχηδόνα, δύναμιν ἄγων μεγίστην τε καὶ γενναίων ἀνδρῶν ἡλικίαις ἀκμάζουσαν, καὶ παντοδαπῇ ὅπλων παρασκευῇ ἐξηρτυμένην, ἐμπειρίᾳ τε πολεμικῇ καὶ τῇ πρὸς τοὺς Βαρβάρους μάχης συνηθείᾳ ἑτοίμην πρὸς μάχας.

Ὡς δὲ ἀπηγγέλη τῷ Γορδιανῷ ὁ στρατὸς προς- 4
ιὼν τῇ πόλει, αὐτός τε ἐν ἐσχάτῳ δέει ἦν, οἵ τε Καρχηδόνιοι ταραχθέντες, οἰόμενοι ἐν πλήθει ὄχλου, οὐκ ἐν εὐταξίᾳ στρατοῦ, τὸ εὔελπι τῆς νίκης εἶναι, πανδημεὶ πάντες ἐξίασιν, ὡς δὴ τῷ Καπελλιανῷ ἀντιταξόμενοι. Γορδιανὸς μὲν οὖν ὁ πρεσβύτης, ὥς τινές φασιν, ἅμα τῷ τῆς Καρχηδόνος ἐπιβῆναι, ἐν

ἀπογνώσει γενόμενος, ἐννοῶν τὴν δύναμιν Μαξιμί-
νου, οὐδὲν δὲ ὁρῶν ἐν Λιβύῃ ἀξιόμαχον ἰσόῤῥοπον,
ἀνήρτησεν ἑαυτὸν βρόχῳ.
5 Κρυπτομένης δὲ αὐτοῦ τῆς τελευτῆς, τὸν υἱὸν
αὐτοῦ στρατηγήσοντα δὴ τοῦ πλήθους εἵλοντο. γενο-
μένης δὲ συμβολῆς, οἱ μὲν Καρχηδόνιοι ὄχλῳ πλείους
ἦσαν, ἄτακτοι δὲ καὶ πολεμικῶν ἔργων ἀπαίδευτοι,
ἅτε ἐν εἰρήνῃ βαθείᾳ τεθραμμένοι, ἑορταῖς τε καὶ
τρυφαῖς σχολάζοντες ἀεί, γυμνοί τε ὅπλων καὶ ὀργά-
6 νων πολεμικῶν. ἕκαστος δὲ ἐπεφέρετο οἴκοθεν ἢ
ξιφίδιον ἢ πέλεκυν δοράτιά τε ἐκ κυνηγεσίων· βύρ-
σας τε τὰς ἐμπεσούσας περιτεμόντες καὶ ξύλα κατα-
πρίσαντες εἰς τὰ παρατυχόντα σχήματα, ὡς ἕκαστος
ἐδύνατο, πρόβλημα τοῦ σώματος ἐποιεῖτο. οἱ δὲ
Νομάδες ἀκοντισταί τε εὔστοχοι καὶ ἱππεῖς ἄριστοι,
ὡς καὶ χαλινῶν ἄνευ ῥάβδῳ μόνῃ τὸν δρόμον τῶν
7 ἵππων κυβερνᾷν. ῥᾷστα οὖν ἐτρέψαντο τῶν Καρχη-
δονίων τὸ πλῆθος, οἵπερ οὐχ ὑπομείναντες αὐτῶν
τὴν ἐμβολήν, πάντα ῥίψαντες ἔφυγον· ὠθούμενοι
δὲ ὑπ' ἀλλήλων καὶ πατούμενοι, πλείους ὑπὸ τοῦ
οἰκείου πλήθους ἐφθάρησαν ἢ πρὸς τῶν πολεμίων.
ἔνθα καὶ ὁ τοῦ Γορδιανοῦ υἱὸς ἀπώλετο, οἵ τε περὶ
αὐτὸν πάντες· ὡς διὰ πλῆθος πτωμάτων μήτε
νεκρῶν ἀναίρεσιν πρὸς ταφὴν γενέσθαι δυνηθῆναι,
8 μήτε τὸ τοῦ νέου Γορδιανοῦ σῶμα εὑρεθῆναι. οἱ
μὲν γὰρ φεύγοντες, ὅσοι τε ἦσαν εἰσρυέντες εἰς τὴν
Καρχηδόνα, ὅσοι τε λαθεῖν ἠδυνήθησαν, σκεδασθέν-
τες εἰς πᾶσαν τὴν πόλιν, οὖσαν μεγίστην τε καὶ
πολλήν, ὀλίγοι ἐκ πολλῶν ἐσώθησαν· τὸ δὲ λοιπὸν
πλῆθος, περὶ ταῖς πύλαις στενοχωρούμενον, παρεισ-
δῦναι σπουδάζοντος ἑκάστου, βαλλόμενόν τε ὑπὸ τῶν
ἀκοντιστῶν, καὶ τιτρωσκόμενον ὑπὸ τῶν ὁπλιτῶν,
9 διεφθείρετο. πολλὴ δὲ οἰμωγὴ κατὰ τὴν πόλιν γυναι-
κῶν τε καὶ παιδίων, ὧν ἐν ὄψει οἱ φίλτατοι ἀπώ-
λοντο. ἕτεροι δέ φασιν, ὡς δὴ ταῦτα οἴκοι μεμενη-
κότι διὰ γῆρας τῷ πρεσβύτῃ Γορδιανῷ ἀπηγγέλη, ὅ
τε Καπελλιανὸς εἰσελαύνων εἰς τὴν Καρχηδόνα ἐδη-
λώθη, ἐν ἀπογνώσει δὲ πάντων γενόμενος, εἰσελθὼν

μόνος εἰς τὸν οἰκίσκον, ὡς δὴ καθευδήσων, ἐξαρτήσας ἧς ἐπεφέρετο ζώνης τὸν τράχηλον ἐν βρόχῳ, τοῦ βίου ἀνεπαύσατο. τοιούτῳ μὲν δὴ τέλει ὁ Γορ- 10
διανὸς ἐχρήσατο, βιώσας τὰ πρῶτα εὐδαιμόνως, ἐν εἰκόνι τε βασιλείας τελευτήσας.

Ὁ δὲ Καπελλιανὸς εἰς Καρχηδόνα εἰςελθὼν, πάντας τε τοὺς πρωτεύοντας ἀπέκτεινεν, εἴ τινες καὶ ἐσώθησαν ἐκ τῆς μάχης, ἐφείδετό τε οὔτε ἱερῶν συλήσεως, οὔτε χρημάτων ἰδιωτικῶν καὶ δημοσίων ἁρπαγῆς. ἐπιὼν τε τὰς λοιπὰς πόλεις, ὅσαι 11
τὰς Μαξιμίνου τιμὰς καθῃρήκεσαν, τοὺς μὲν ἐξέχοντας ἐφόνευε, τοὺς δὲ δημότας ἐφυγάδευεν· ἀγρούς τε καὶ κώμας ἐμπιπράναι λεηλατεῖν τε τοῖς στρατιώταις ἐπέτρεπε, προςποιούμενος μὲν τιμωρίαν εἰςπράττειν ἐφ᾽ οἷς εἰς Μαξιμῖνον ἡμαρτήκεσαν, λανθανόντως δὲ εὔνοιαν ἑαυτῷ παρὰ τῶν στρατιωτῶν μνώμενος, ἵν᾽, εἴ τι πταίσειεν τὰ Μαξιμίνου πράγματα, αὐτὸς ἔχων δύναμιν εὐνοοῦσαν, τῆς ἀρχῆς ἀντιποιήσαιτο. τὰ μὲν δὴ κατὰ τὴν Λιβύην ἐν τούτοις ἦν.

X. Ὡς δὲ εἰς τὴν Ῥώμην ἐδηλώθη ἡ τοῦ 1
πρεσβύτου τελευτή, ἐν πολλῇ ταραχῇ καὶ ἀφασίᾳ ὅ τε δῆμος ἦν, ἥ τε Σύγκλητος μάλιστα, [Γορδιανοῦ] τετελευτηκότος εἰς ὃν ἠλπίκεσαν· ᾔδεσαν γὰρ . . . αὐτὸν οὔτε φεισόμενον τινός. ὃς γὰρ καὶ φύσει ἀλλοτρίως καὶ ἀπεχθῶς πρὸς αὐτοὺς διέκειτο, τότε καὶ ἐπ᾽ εὐλόγοις αἰτίαις, ὡς ὁμολογουμένοις ἐχθροῖς, εἰκότως ὠργίζετο. ἔδοξεν οὖν, συνελθεῖν καὶ περὶ τῶν 2
πρακτέων σκέψασθαι, ἅπαξ τε ἀναῤῥίψαντας κίνδυνον, πόλεμον ἄρασθαι, προστησαμένους ἑαυτῶν χειροτονηθέντας βασιλέας· οὓς ἠθέλησαν μερίσαι τὴν ἀρχὴν, ὡς μὴ [παρ᾽ ἑνὶ οὖσα] ἐξουσία εἰς τυραννίδα πάλιν ἐξοκείλῃ. συνῆλθον οὖν οὐκ εἰς τὸ σύνηθες συνέδριον, ἀλλ᾽ εἰς τὸν τοῦ Διὸς νεὼν Καπετωλίου, ὃν σέβουσι Ῥωμαῖοι ἐν ἀκροπόλει. συγ- 3
κλείσαντες οὖν αὐτοὺς ἐν τῷ σηκῷ μόνους, ὥσπερ ὑπὸ μάρτυρι τῷ Διῒ καὶ συνέδρῳ, ἐπισκόπῳ τε τῶν πραττομένων, ἐπιλεξάμενοι τῶν ἐν ἡλικίᾳ καὶ ἀξιω-

ματι προὐχόντων, οὓς ἐδοκίμαζον, κατὰ τὴν ψηφοφορίαν, ἐχόντων καὶ ἄλλων ψήφους, διακριθεισῶν τε καὶ τοῦ πλείστου τῆς γνώμης, Μάξιμόν τε καὶ Βαλβῖνον ἀνειπόντες, αὐτοκράτορας ἐποίησαν.
4 τούτων δ' ἦν ὁ μὲν, Μάξιμος, ἔν τε πολλαῖς στρατοπέδων ἀρχαῖς γενόμενος, τῆς τε Ῥωμαίων πόλεως ἔπαρχος καταστάς, ἀνεπιστρόφως τε ἄρξας, καὶ ἐν ὑπολήψει παρὰ τοῖς ὄχλοις φρενῶν τε καὶ ἀγχινοίας καὶ βίου σώφρονος· ὁ δὲ Βαλβῖνος, γενόμενος μὲν εὐπατρίδης, εἰς δευτέραν δὲ ὑπατείαν ἐληλακώς, ἐθνῶν τε ἡγησάμενος ἀμέμπτως, τὸ δ' ἦθος ἁπλού-
5 στερος. τῆς οὖν χειροτονίας ἐκείνης ἀνειπούσης, Σεβαστοί τε ἀνηγορεύθησαν, καὶ πάσαις ταῖς βασιλικαῖς τιμαῖς ἡ Σύγκλητος διὰ δόγματος αὐτοὺς ἐκόσμησεν.

Ὁ δὲ δῆμος, τούτων ἐν τῷ Καπετωλίῳ πραττομένων, εἴτε ὑποβαλόντων τινῶν Γορδιανοῦ φίλων καὶ οἰκείων, εἴτε γνόντες ὑπὸ φήμης, παρειστήκεσαν ταῖς πύλαις, φράξαντες πᾶσαν τὴν εἰς τὸ Καπετώλιον ἄνοδον τῷ πλήθει τῶν ὄχλων, λίθους τε καὶ ξύλα ἐπεφέροντο, ἀντιπράττοντες τοῖς ὑπὸ τῆς Συγκλήτου ἐψηφισμένοις, καὶ μάλιστα τὸν Μάξιμον
6 παραιτούμενοι. [ἦρξέ τε γὰρ] στεῤῥότερον τῆς πόλεως, πολύ τε τὸ ἐπιστρεφὲς ἔσχε πρὸς τοὺς φαύλους καὶ κούφους τῶν ὄχλων· ὅθεν δεδιότες ἀπηρέσκοντο αὐτῷ, ἐβόων τε καὶ ἠπείλουν ἀποκτενεῖν αὐτούς. ἠξίουν γὰρ τοῦ Γορδιανοῦ γένους βασιλέα αἱρεθῆναι, τό τε τῆς αὐτοκρατορικῆς ἀρχῆς ὄνομα
7 ἐκείνῳ τῷ οἴκῳ καὶ ὀνόματι μεῖναι. ὁ δὲ Βαλβῖνος καὶ Μάξιμος, ἐκ τοῦ ἱππικοῦ τάγματος τοὺς νεανίας πάντας, στρατιώτας τε οἳ ἐν Ῥώμῃ διέτριβον, περιστήσαντες αὐτοῖς ξιφηφόρους, προελθεῖν τοῦ Καπετωλίου ἐβιάζοντο, ὑπὸ δὲ πλήθους ξύλων καὶ λίθων ἐκωλύθησαν· ἔστε δὴ ὑποβάλλοντος τινὸς αὐτοὶ τὸν δῆμον ἐσοφίσαντο.

8 Ἦν τι παιδίον νήπιον, τῆς Γορδιανοῦ θυγατρὸς τέκνον, τῷ πάππῳ ὁμώνυμον. πέμψαντες τοίνυν τῶν σὺν αὐτοῖς τινάς, κελεύουσι τὸ παιδίον

κομισθῆναι. οἱ δὲ εὑρόντες αὐτὸ ἄθυρον οἴκοι,
ἀράμενοι ἐπὶ τῶν ὤμων διὰ μέσου τοῦ πλήθους,
δεικνύντες τοῖς ὄχλοις, Γορδιανοῦ τε ἔκγονον λέγον-
τες, καὶ τῇ αὐτοῦ προσηγορίᾳ ἀποκαλοῦντες, ἀνά-
γουσιν εἰς τὸ Καπετώλιον, εὐφημούμενον ὑπὸ τοῦ
δήμου καὶ φυλλοβολούμενον. τῆς τε Συγκλήτου Καί- 9
σαρα αὐτὸ ἀποδειξάσης, ἐπειδὴ διὰ τὴν ἡλικίαν
οὐχ οἷός τε ἦν προΐστασθαι τῶν πραγμάτων, τῆς
τε ὀργῆς ὁ δῆμος ἐπαύσατο, ἠνέσχοντό τε προελ-
θεῖν εἰς τὴν βασίλειον αὐλήν.

XI. Συνέβη δὲ κατὰ τοὺς αὐτοὺς χρόνους 1
πταῖσμα ὀλέθριον τῇ Ῥωμαίων πόλει, ἀρχὴν καὶ
πρόφασιν λαβὸν ἐξ εὐτόλμου θράσους δύο ἀνδρῶν
τῶν ἀπὸ Συγκλήτου. συνεληλύθεσαν γὰρ εἰς τὸ βου-
λευτήριον πάντες, σκεψόμενοι περὶ τῶν καθεστώ-
των. μαθόντες δ' οἱ στρατιῶται, οὓς ἐν τῷ στρα- 2
τοπέδῳ Μαξιμῖνος καταλελοίπει, (ἤδη γὰρ πρὸς
ἄφιξιν τῆς στρατείας ὄντες, καὶ δι' ἡλικίαν οἴκοι
μεμενηκότες,) ἦλθον μέχρι τῆς εἰσόδου τῆς Συγκλή-
του, βουλόμενοι τὸ πραττόμενον μαθεῖν· ὅπλων
μὲν γυμνοί, ἐν λιταῖς δὲ ἐσθῆσι καὶ ἐφεστρίσιν,
ἑστήκεσαν δὲ μετὰ τοῦ λοιποῦ δήμου. καὶ οἱ μὲν 3
ἄλλοι πρὸ τῶν θυρῶν ἔμενον· δύο δὲ ἢ τρεῖς, πε-
ριεργότερον ἐπακοῦσαι τῶν βουλευομένων θελήσαν-
τες, εἰς τὸ συνέδριον εἰσῆλθον, ὡς τὸν ἱδρυμένον
βωμὸν τῆς Νίκης ὑπερβῆναι τούτους. τῆς δὲ Συγ-
κλήτου ἀνὴρ, ἀπὸ ὑπατείας μὲν νεωστὶ, Γαλλικα-
νὸς ὄνομα, Καρχηδόνιος δὲ τὸ γένος, καὶ ἕτερος
στρατηγικὸς τὸ ἀξίωμα, Μαικήνας καλούμενος, οὐ-
δέν τι προσδοκῶντας τοὺς στρατιώτας, ἔχοντας δὲ
τὰς χεῖρας ὑποκαθειμένας ταῖς ἐφεστρίσι, παίουσι
πληγαῖς κατακαρδίαις, ξίφεσιν οἷς ἐπεφέροντο ὑπο-
κολπίοις. πάντες γὰρ διὰ τὴν οὖσαν στάσιν τε καὶ 4
ταραχὴν, οἱ μὲν φανερῶς, οἱ δὲ καὶ κρύβδην, ἐξι-
φηφόρουν, ἀμυντήρια δῆθεν φέροντες ἑαυτῶν, διὰ
τοὺς αἰφνιδίως ἐπιβουλεύοντας ἐχθρούς. τότε δὴ οἱ
στρατιῶται πληγέντες, καὶ πως ἀπροσδοκήτως προ-
βαλεῖν οὐ δυνηθέντες, πρὸ τοῦ βωμοῦ ἔκειντο.

5 οἱ δὲ λοιποὶ στρατιῶται τοῦτο θεασάμενοι, ἐκπλαγέντες τῷ πάθει τῶν συστρατιωτῶν, φοβηθέντες τοῦ δήμου τὸ πλῆθος, ἄνευ τε ὅπλων ὄντες, ἔφυγον.

Ὁ δὲ Γαλλικανὸς ἐκδραμὼν τῆς Συγκλήτου εἰς τὸν δῆμον μέσον, δεικνύς τε τὸ ξίφος καὶ τὴν χεῖρα ἡμαγμένην, διεκελεύετο διώκειν καὶ φονεύειν τοὺς ἐχθροὺς μὲν Συγκλήτου καὶ Ῥωμαίων, φίλους δὲ
6 καὶ συμμάχους Μαξιμίνου. ὁ δὲ δῆμος ῥᾶστα πεισθεὶς, τὸν μὲν Γαλλικανὸν εὐφήμει, τοὺς δὲ στρατιώτας, ὡς δυνατὸν ἦν διώκοντες, ἔβαλλον λίθοις. οἱ δὲ φθάσαντες, ὀλίγων τινῶν καὶ τρωθέντων, εἰς τὸ στρατόπεδον καταφυγόντες, καὶ τὰς πύλας ὡς ἐδύναντο κλείσαντες, ὅπλα δὲ ἀναλαβόντες, ἐφρούρουν τὸ τεῖχος τοῦ στρατοπέδου. ὁ δὲ Γαλλικανὸς ἅπαξ τολμήσας ἔργον τηλικοῦτον, ἐμφύλιον πόλεμον
7 καὶ ὄλεθρον μέγαν ἤγειρε τῇ πόλει. τάς τε γὰρ δημοσίας ἀποθήκας τῶν ὅπλων, εἴ τινες ἦσαν πρὸς πομπὴν μᾶλλον ἢ μάχην ἐπιτήδειοι, ἀναῤῥῆξαι τοὺς ὄχλους ἔπεισε, τό τε σῶμα ἕκαστον φράττεσθαι ὡς οἷός τε ἦν· τά τε τῶν μονομάχων καταγώγια ἀνοίξας, ἐξήγαγε τοῖς οἰκείοις ὅπλοις ἕκαστον ἐξηρτυμένον. ὅσα τε ἦν ἐν οἰκίαις ἢ ἐργαστηρίοις δόρατα ἢ ξίφη
8 πελέκεις τε, πάντα διηρπάζετο. ὅ τε δῆμος ἐνθουσιῶν πᾶν τὸ ἐμπίπτον ὕλης ἀξιομάχου ἐργαλεῖον ὅπλον ἐποιεῖτο. ἀθροισθέντες οὖν ἐπῆλθον τῷ στρατοπέδῳ, καὶ ὡς πολιορκήσοντες αὐτὸ δῆθεν, προσέβαλλόν τε ταῖς πύλαις καὶ τοῖς τείχεσιν. οἱ δὲ στρατιῶται μετὰ πολλῆς ἐμπειρίας ὡπλισμένοι . . τε τὰς ἐπάλξεις καὶ τὰς ἀσπίδας, τόξοις τε αὐτοὺς βάλλοντες, καὶ δόρασι μακροῖς ἀπείργοντες, τοῦ
9 τείχους ἀπεδίωκον. ὡς δὲ καμὼν ὁ δῆμος, οἵ τε μονομάχοι τιτρωσκόμενοι, ἤδη καὶ ἑσπέρας προσιούσης, ἀπελθεῖν ἠθέλησαν, θεασάμενοι αὐτοὺς οἱ στρατιῶται ἀπεστραμμένους καὶ τὰ νῶτα δεδωκότας, ἀπιόντας τε ἀμελέστερον, οἰομένους μὴ τολμήσειν ἐπεξελθεῖν ὀλίγους πλήθει τοσούτῳ, ἀνοίξαντες αἰφνιδίως τὰς πύλας, ἐπέδραμον τῷ δήμῳ, καὶ τούς τε

μονομάχους ἀπέκτειναν· τοῦ τε δήμου μέγα τι πλῆθος ἀπώλετο ὠθούμενον. οἱ δὲ τοσοῦτον διώξαντες, ὅσον μὴ πολύ τι τοῦ στρατοπέδου ἀποστῆναι, πάλιν ἐπανῆλθον, ἐντός τε τοῦ τείχους ἔμενον.

XII. Ἐντεῦθεν μείζων ἡ ὀργὴ τοῦ τε δήμου 1
καὶ τῆς Συγκλήτου ἐγένετο. στρατηγοί τε οὖν κατελέγοντο, ἔκ τε πάσης Ἰταλίας λογάδες· ἥ τε νεολαία πᾶσα ἠθροίζετο, ὅπλοις τε αὐτοσχεδίοις καὶ τοῖς προστυχοῦσιν ὡπλίζετο. τούτων δὴ τὸ μὲν πλεῖστον μέρος ὁ Μάξιμος σὺν αὐτῷ ἀπήγαγεν, ὡς δὴ Μαξιμίνῳ πολεμήσων· οἱ δὲ λοιποὶ ἔμειναν, ὡς τὴν πόλιν φρουροῖέν τε καὶ προασπίζοιεν αὐτῆς. ἑκά- 2
στοτε οὖν τῷ τείχει τοῦ στρατοπέδου ἐγίνοντο προσβολαί· ἔπραττον δὲ οὐδέν, προμαχομένων ἄνωθεν τῶν στρατιωτῶν· οἱ δὲ, βαλλόμενοι καὶ τιτρωσκόμενοι, κακῶς ἀπηλλάγησαν. ὁ δὲ Βαλβῖνος οἴκοι μένων, διάταγμά τι προθεὶς, ἱκέτευε τὸν δῆμον εἰς διαλλαγὰς χωρῆσαι· τοῖς τε στρατιώταις ὑπισχνεῖτο ἀμνηστίαν, ἄνεσίν τε πάντων ἐδίδου ἁμαρτημάτων. ἀλλ' οὐδετέρους ἔπειθε· τὸ δὲ δεινὸν ἑκάστοτε ηὔξε- 3
το, τοῦ μὲν τοσούτου δήμου ἀπαξιοῦντος ὑπ' ὀλίγων καταφρονηθῆναι, τῶν δὲ στρατιωτῶν ἀγανακτούντων, ὅτι δὴ ταῦτα ὑπὸ Ῥωμαίων, ὡς ὑπὸ Βαρβάρων, πάσχουσι.

Τὸ δὴ τελευταῖον, ἐπειδὴ τειχομαχοῦντες οὐδὲν ἔπραττον, ἔδοξε τοῖς στρατηγοῖς, ἐκκόψαι πάντας τοὺς εἰσρέοντας εἰς τὸ στρατόπεδον ἀγωγοὺς ὕδατος, σπάνει τε ποτοῦ καὶ ἐνδείᾳ ῥείθρων αὐτοὺς περιστήσαντες. προσπεσόντες οὖν πᾶν τὸ ὕδωρ τοῦ στρα- 4
τοπέδου εἰς ἕτερα ῥεῖθρα μετωχέτευον, ἐκκόπτοντες καὶ εἰσφράττοντες τὰς εἰς τὸ στρατόπεδον εἰσόδους αὐτοῦ. οἱ δὲ στρατιῶται ὁρῶντες τὸν κίνδυνον, ἐν ἀπογνώσει δὲ γενόμενοι, τὰς πύλας ἀνοίξαντες, ἐπεξῆλθον· μάχης τε καρτερᾶς γενομένης καὶ φυγῆς τῶν δημοτῶν, ἐπὶ πολὺ τῆς πόλεως διώκοντες οἱ στρατιῶται προὔβησαν. ἐπεὶ δὲ οἱ ὄχλοι, ταῖς συ- 5
σταδὸν μάχαις ἡττώμενοι, ἀναπηδῶντες εἰς τὰ δώματα, τῷ τε κεράμῳ βάλλοντες αὐτοὺς, καὶ λίθων

βολαῖς τῶν τε ἄλλων ὀστράκων ἐλυμαίνοντο, ἐπαναβῆναι μὲν αὐτοῖς, δι' ἄγνοιαν τῶν οἰκήσεων, οὐκ ἐτόλμησαν οἱ στρατιῶται· κεκλεισμένων δὲ τῶν οἰκιῶν καὶ τῶν ἐργαστηρίων, ταῖς θύραις, καὶ εἴ τινες ἦσαν ξύλων ἐξοχαί, (πολλαὶ δὲ αὗται κατὰ τὴν
6 πόλιν,) πῦρ προςετίθεσαν. ῥᾷστα δὲ διὰ πυκνότητα τῶν συνοικιῶν, ξυλείας τε πλῆθος ἐπάλληλον, μέγιστον μέρος τῆς πόλεως τὸ πῦρ ἐνεμήθη· ὡς πολλοὺς μὲν ἐκ πλουσίων ποιῆσαι πένητας, ἀποβαλόντας θαυμαστὰ καὶ ἀμφιλαφῆ κτήματα, ἔν τε προςόδοις πλουσίαις, καὶ ἐν ποικίλῃ πολυτελείᾳ τίμια.
7 πλῆθός τε ἀνθρώπων συγκατεφλέχθη, φυγεῖν μὴ δυνηθέντων, διὰ τὸ τὰς ἐξόδους ὑπὸ τοῦ πυρὸς προκατειλῆφθαι. οὐσίαι τε ὅλαι πλουσίων ἀνδρῶν διηρπάγησαν, ἐγκαταμιξάντων ἑαυτοὺς τοῖς στρατιώταις πρὸς τὸ ἁρπάζειν κακούργων καὶ εὐτελῶν δημοτῶν. τοσοῦτον δὲ μέρος τῆς πόλεως τὸ πῦρ ἐλυμήνατο, ὡς μηδεμίαν τῶν μεγίστων πόλεων ὁλόκληρον δύνασθαι τῷ μέρει ἐξισωθῆναι.

8 Καὶ τὰ μὲν κατὰ τὴν Ῥώμην τοιαῦτα ἦν. ὁ δὲ Μαξιμῖνος ἀνύσας τὴν ὁδοιπορίαν, ἐπέστη τοῖς τῆς Ἰταλίας ὅροις· θύσας τε ἐπὶ τῶν μεθορίων βωμῶν, τῆς ἐπ' Ἰταλίαν εἰςβολῆς εἴχετο· ἐκέλευσέ τε πάντα τὸν στρατὸν ἐν ὅπλοις εἶναι, καὶ μετ' εὐταξίας προςχωρεῖν.

Τὴν μὲν οὖν Λιβύης ἀπόστασιν, καὶ τὸν κατὰ τὴν Ῥώμην ἐμφύλιον πόλεμον, τά τε Μαξιμίνῳ πραχθέντα, καὶ τὴν εἰς Ἰταλίαν ἄφιξιν αὐτοῦ ἐδηλώσαμεν· τὰ δὲ ἑπόμενα ἐν τοῖς ἑξῆς λεχθήσεται.

# ΗΡΩΔΙΑΝΟΥ

## ΙΣΤΟΡΙΩΝ

## ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

I. Τὰ μὲν δὴ Μαξιμίνῳ πραχθέντα μετὰ τὴν Γορ- 1
διανοῦ τελευτὴν, ἥ τε εἰς Ἰταλίαν ἄφιξις αὐτοῦ, Λιβύης τε ἀπόστασις, καὶ ἡ ἐν Ῥώμῃ τῶν στρατιωτῶν πρὸς τὸν δῆμον διαφορὰ, ἐν τοῖς πρὸ τούτων λέλεκται. ὁ δὲ Μαξιμῖνος ἐπιστὰς τοῖς ὅροις, προὔπεμψε σκοποὺς τοὺς ἐρευνήσοντας, μή τινες ἐνέδραι ἐν κοιλάσιν ὀρῶν ἢ λόχμαις ὕλαις τε κρύφιοι
εἶεν. αὐτός τε καταγαγὼν εἰς τὸ πεδίον τὸν στρα- 2
τὸν, τὰς μὲν τῶν ὁπλιτῶν φάλαγγας ἐς τετράγωνα ἔταξε σχήματα, ἐπιμήκεις μᾶλλον ἢ βαθείας, ὡς ἂν πλεῖστον τοῦ πεδίου διαλάβοιεν. τὰ δὲ σκευοφόρα πάντα, κτήνη τε καὶ ὀχήματα, ἐν μέσῳ τάξας, αὐτὸς ἅμα τοῖς δορυφόροις ὀπισθοφυλακῶν εἵπετο.
ἑκατέρωθεν δὲ παρέθεον αἵ τε τῶν καταφράκτων 3
ἱππέων ἴλαι, καὶ Μαυρούσιοι ἀκοντισταὶ, τοξόται τε οἱ ἀπὸ τῆς ἀνατολῆς· καὶ Γερμανῶν ἱππέων μέγα τι πλῆθος ἐπήγετο συμμάχους. ἐκείνους γὰρ μάλιστα προὐβάλλετο, ἵν' ἐκδέχωνται τῶν πολεμίων τὰς πρώτας ἐμβολάς, θυμοειδεῖς ὄντες καὶ εὔτολμοι ἐν ἀρχομένῃ μάχῃ· εἰ δ' ἄρα καὶ κινδυνεύειν δέοι,
εὐκαταφρόνητοι, ὡς Βάρβαροι. ὡς δὲ πᾶν τὸ πε- 4
δίον διῆλθεν ὁ στρατὸς μετ' εὐκοσμίας τε καὶ εὐταξίας, ἐπέστησαν πρώτῃ Ἰταλίας πόλει, ἣν καλοῦσιν Ἡμᾶν οἱ ἐπιχώριοι· πρόκειται δὲ αὕτη ἐπ'

ἀκροτάτῳ πεδίῳ, ἱδρυμένη πρὸ τῆς ὑπωρείας τῶν Ἄλπεων. ἔνθα ὑπαντώμενοι τῷ Μαξιμίνῳ οἱ προφύλακες καὶ σκοποὶ τοῦ στρατοῦ, ἤγγειλαν κενὴν ἀνθρώπων εἶναι τὴν πόλιν, πανδημεί τε πεφευγέναι, ἐμπρήσαντας τὰς θύρας ἱερῶν τε καὶ οἰκιῶν, πάντα τε, ὅσα ἦν ἐν τῇ πόλει ἢ τοῖς ἀγροῖς, ἃ μὲν ἐκφορήσαντας, ἃ δὲ καταπρήσαντας, καὶ μήτε ὑποζυγίοις, μήτε ἀνθρώποις καταλελεῖφθαι τροφάς.

5 Ὁ δὲ Μαξιμῖνος ἥσθη μὲν ἐπὶ τῇ τῶν Ἰταλιωτῶν εὐθὺς φυγῇ, ἐλπίζων πάντας τοὺς δήμους τοῦτο ποιήσειν, οὐχ ὑπομένοντας τὴν ἔφοδον αὐτοῦ· ὁ δὲ στρατὸς ἤχθετο, εὐθὺς ἐν ἀρχῇ λιμοῦ πειρώμενος. διανυκτερεύσαντες οὖν, οἱ μὲν ἐν τῇ πόλει ἐν ἀθύροις καὶ κεναῖς πάντων οἰκίαις, οἱ δ' ἐν τῷ πεδίῳ, ἅμα ἡλίῳ ἀνίσχοντι ἐπὶ τὰς Ἄλπεις ἠπείγοντο· ἅπερ ὄρη ὑπερμήκη, ὥςπερ τεῖχος Ἰταλίας, ἡ φύσις ἤγειρεν, ὑπερνεφῆ μὲν τὸ ὕψος, ἐπιμηκέστατα δὲ, ὡς πᾶσαν Ἰταλίαν διειληφότα καθήκειν, ἐν μὲν τοῖς δεξιοῖς Ἰταλίας μέρεσιν, εἰς τὸ Τυῤῥηναῖον πέλαγος· ἐν δὲ τοῖς λαιοῖς, εἰς τὸν Ἰόνιον κόλπον.

6 σκέπεται δὲ ὕλαις δασείαις καὶ πυκναῖς· τὰς δὲ διεξόδους ἐστένωται, ἢ διὰ κρημνοὺς εἰς βάθος μέγιστον ἀπεῤῥωγότας, ἢ διὰ πετρῶν τραχύτητα. στενωποὶ γάρ εἰσι χειροποίητοι, μετὰ πολλοῦ καμάτου τοῖς πάλαι Ἰταλιώταις εἰργασμένοι. μετὰ δέους οὖν πολλοῦ διῄει ὁ στρατὸς, ἐλπίζοντες τάς τε ἄκρας κατειλῆφθαι, πεφράχθαι τε τὰς διόδους ἐς κωλύμην τῆς αὐτῶν διαβάσεως. ἤλπιζον δὲ καὶ ἐδεδοίκεσαν εἰκότα, τῶν χωρίων τεκμαιρόμενοι τὴν φύσιν.

1 II. Ὡς δὲ διέβησαν ἀκωλύτως, μηδενὸς ἐμποδὼν γενομένου, καταβαίνοντες εἰς τὸ στρατόπεδον, ἤδη ἀνεθάῤῥησάν τε καὶ ἐπαιάνισαν· ῥᾷστά τε αὐτῷ πάντα προχωρήσειν ὁ Μαξιμῖνος ἤλπισεν, Ἰταλῶν μηδὲ ταῖς δυσχωρίαις τεθαῤῥηκότων, ἔνθα ἢ κρύπτειν ἑαυτοὺς καὶ σώζειν ἠδύναντο, ἢ δι' ἐνέδρας ἐπιβουλεῦσαι, μάχεσθαί τε ἄνωθεν ἐξ ὑπερκειμένων

2 χωρίων. γενομένων δὲ αὐτῶν ἐν τῷ πεδίῳ, οἱ σκοποὶ ἀπήγγειλαν, πόλιν Ἰταλίας τὴν μεγίστην, Ἀκυλη-

ἴαν δὲ καλουμένην, κεκλεῖσθαι· τὰς δὲ προπεμφθείσας φάλαγγας τῶν Παιόνων, προθύμως μὲν τειχομαχῆσαι, πολλάκις δὲ προσβαλούσας ἀνύειν οὐδέν· ἀπαγορεύειν δὲ καὶ ἀναχωρεῖν βαλλομένους λίθοις τε καὶ δόρασι, τόξων τε πλήθει. ὁ δὲ Μαξιμῖνος, ἀγανακτήσας πρὸς τοὺς στρατηγοὺς τῶν Παιόνων, ὡς ἀμελέστερον μαχομένους, αὐτὸς σὺν τῷ στρατῷ ἠπείγετο, ἐλπίζων ῥᾷστα αἱρήσειν τὴν πόλιν.

Ἡ δὲ Ἀκυληΐα καὶ πρότερον μὲν, ἅτε μεγίστη 3
πόλις, ἰδίου δήμου πολυάνθρωπος ἦν, καὶ ὥσπερ τι ἐμπόριον Ἰταλίας ἐπὶ θαλάττῃ προκειμένη, καὶ πρὸ τῶν Ἰλλυρικῶν ἐθνῶν πάντων ἱδρυμένη, τά τε ἀπὸ τῆς ἠπείρου διὰ γῆς ἢ ποταμῶν κατακομιζόμενα παρεῖχεν ἐμπορεύεσθαι τοῖς πλέουσι· τά τε ἀπὸ θαλάττης τοῖς ἠπειρώταις ἀναγκαῖα, ὧν ἡ παρ' ἐκείνοις χώρα διὰ χειμῶνος οὐκ ἦν εὔφορος, ἀνέπεμπεν εἰς τὴν ἄνω γῆν· πρὸς οἶνόν τε μάλιστα πολύγονον χώραν γεωργοῦντες, ἀφθονίαν ποτοῦ παρεῖχον τοῖς ἄμπελον μὴ γεωργοῦσιν. ἔνθεν πολύ τι πλῆθος 4
ἐπεδήμει οὐ πολιτῶν μόνον, ἀλλὰ ξένων τε καὶ ἐμπόρων. τότε δὴ μᾶλλον ἐπολυπλασιάσθη τὸ πλῆθος, τῶν ὄχλων πάντων ἐξ ἀγρῶν ἐκεῖσε συῤῥεόντων, πολίχνας τε καὶ κώμας τὰς περικειμένας καταλιπόντων, πιστευσάντων δὲ αὐτοὺς τῷ τε μεγέθει τῆς πόλεως καὶ τῷ προβεβλημένῳ τείχει, ὃ παλαιότατον, ἐκ τοῦ πλείστου μέρους πρότερον μὲν κατερήρειπτο· (ἅτε μετὰ τὴν Ῥωμαίων ἀρχὴν μηκέτι τῶν ἐν Ἰταλίᾳ πόλεων ἢ τειχῶν ἢ ὅπλων δεηθεισῶν, μετειληφυιῶν δὲ ἀντὶ πολέμων εἰρήνην βαθεῖαν, καὶ τῆς παρὰ Ῥωμαίοις πολιτείας κοινωνίαν·) πλὴν τότε ἡ χρεία 5
ἤπειξε τὸ τεῖχος ἀνανεώσασθαι, τά τ' ἐρείπια ἀνοικοδομῆσαι, πύργους τε καὶ ἐπάλξεις ἐγεῖραι. τάχιστα οὖν φράξαντες τῷ τείχει τὴν πόλιν, τάς τε πύλας κλείσαντες, πανδημεὶ ἐπὶ τῶν τειχῶν νύκτωρ τε καὶ μεθ' ἡμέραν ἱδρυμένοι, τοῖς προσιοῦσιν ἀπεμάχοντο. ἐστρατήγουν δὲ αὐτῶν καὶ πάντα εἶχον διὰ φροντίδος ἄνδρες δύο, ἀπὸ ὑπατείας μὲν, ἐπιλεχθέντες δὲ ὑπὸ τῆς Συγκλήτου· ὧν ὁ μὲν Κρι-

6 σπῖνος, ὁ δὲ Μηνίφιλος ἐκαλεῖτο. καὶ μετὰ πολλῆς προνοίας τά τε ἐπιτήδεια πάμπλειστα εἰςεκομίσαντο, ὡς ἐκτένειαν εἶναι, εἰ καὶ ἐπιμηκεστέρα γένοιτο πολιορκία. ἦν δὲ καὶ ὕδατος ἀφθονία φρεατιαίου· πολλὰ γὰρ τὰ ὀρύγματα ἐν τῇ πόλει· ποταμός τε παραῤῥεῖ τὸ τεῖχος, ὁμοῦ παρέχων τε προβολὴν τάφρου καὶ χορηγίαν ὕδατος.

1 III. Τὰ μὲν οὖν ἐν τῇ πόλει οὕτω παρεσκεύαστο. τῷ δὲ Μαξιμίνῳ, ἐπειδὴ ἀπηγγέλη φρουρουμένη καὶ κεκλεισμένη γενναίως ἡ πόλις, ἔδοξε πέμψαι ἐν σχήματι πρεσβείας τοὺς κάτωθεν διαλεξομένους, εἰ ἄρα πείσαιεν αὐτοὺς ἀνοῖξαι τὰς πύλας. ἦν δὲ ἐν τῷ στρατῷ χιλίαρχος, ᾧ πατρὶς μὲν ἡ Ἀκυληΐα ἦν, τέκνα τε καὶ γυνή, οἰκεῖοί τε πάντες ἔνδον ἀπεκέ-
2 κλειντο. τοῦτον οὖν ἔπεμψε σὺν ἑτέροις ἑκατοντάρχαις, ἐλπίσας ῥᾷστα πείσειν ὡς πολίτην. ἀφικόμενοι δὲ οἱ πρέσβεις ἔλεγον· „ὅτι ἄρα κελεύει Μαξιμῖνος ὁ κοινὸς βασιλεὺς ὅπλα μὲν αὐτοὺς καταθέσθαι ἐν εἰρήνῃ, φίλον δὲ ἀντὶ πολεμίου δέχεσθαι, σπονδαῖς δὲ μᾶλλον καὶ θυσίαις σχολάζειν ἢ φόνοις· μηδὲ περιορᾷν πατρίδα μέλλουσαν ἄρδην καὶ ἐκ θεμελίων ἀπόλλυσθαι, ἐνὸν αὐτοῖς τε σώζεσθαι καὶ τὴν πατρίδα σώζειν, διδόντος αὐτοῖς χρηστοῦ βασιλέως ἀμνηστίαν συγγνώμην τε τῶν ἁμαρτηθέντων· οὐ γὰρ αὐτοὺς αἰτίους γεγενῆσθαι, ἀλλ᾽ ἄλλους."

3 Οἱ μὲν οὖν πρέσβεις τοιαῦτά τινα κάτω παρεστῶτες ἐβόων, ὡς ἐξάκουστα εἴη· ὁ δὲ πλεῖστος δῆμος, τῷ τείχει καὶ τοῖς πύργοις ἐφεστώς, πλὴν τῶν τὰ λοιπὰ μέρη φρουρούντων, ἐπήκουεν ἡσυχά-
4 ζων τῶν λεγομένων. ὁ δὲ Κρισπῖνος, φοβηθεὶς μή πως ἅτε ὄχλος, ταῖς ὑποσχέσεσιν ἀναπεισθείς, εἰρήνην τε ἀντὶ πολέμου ἑλόμενος, ἀνοίξῃ τὰς πύλας, περιθέων τὸ τεῖχος, ἐδεῖτο καὶ ἐλιπάρει· „μένειν τε θαῤῥαλέως καὶ ἀντέχειν γενναίως, μηδὲ προδιδόναι τὴν πρὸς τὴν Σύγκλητον καὶ Ῥωμαίων δῆμον πίστιν· σωτῆρας δὲ καὶ προμάχους Ἰταλίας πάσης ἀναγραφῆναι· μὴ πιστεύειν δὲ ὑποσχέσεσι τυράννου ἐπιόρκου τε καὶ ἀπατεῶνος, μηδὲ χρηστοῖς λόγοις

δελεασθέντας, ὀλέθρῳ προὔπτῳ παραδοθῆναι, ἐνὸν
πιστεῦσαι πολέμου ἀμφιβόλῳ τύχῃ· (πολλάκις γὰρ 5
καὶ ὀλίγοι πλειόνων περιεγένοντο, καὶ δοκοῦντες
ἀσθενέστεροι, καθεῖλον τοὺς ἐν ὑπολήψει ἀνδρείας
μείζονος·) μηδ᾽ ἐκπλήττεσθαι τῷ πλήθει τοῦ στρα-
τοῦ. οἱ μὲν γὰρ ὑπὲρ ἄλλου μαχόμενοι, καὶ τῆς
παρ᾽ ἑτέρῳ ἐσομένης εὐδαιμονίας, εἴπερ γένοιτο,
μετριάζουσιν ἐν τῷ προθύμῳ τῆς μάχης, εἰδότες
ὡς τῶν μὲν κινδύνων αὐτοὶ μεθέξουσι, τὰ δὲ μέ-
γιστα καὶ κορυφαῖα τῆς νίκης ἄλλος καρπώσεται·
τοῖς δὲ ὑπὲρ τῆς πατρίδος μαχομένοις καὶ παρὰ τῶν 6
θεῶν ἐλπίδες κρείττους, ἐπειδὴ οὐ τὰ ἄλλων λαβεῖν,
ἀλλὰ τὰ αὑτῶν σώζειν εὔχονται. τό τε ἐς τὰς μά-
χας πρόθυμον οὐκ ἐξ ἄλλου κελεύσεως, ἀλλὰ ἐξ
οἰκείας ἀνάγκης ἔχουσιν, ἐπεὶ καὶ τῆς νίκης πᾶς
ὁ καρπὸς αὐτοῖς περιγίνεται."

Τοιαῦτά τινα λέγων ὁ Κρισπῖνος, καὶ πρὸς ἑκά- 7
στους καὶ κοινῇ, φύσει μὲν καὶ ἄλλως αἰδέσιμος ὤν,
ἔν τε τῇ Ῥωμαίων φωνῇ εὐπρόσφορος ἐν λόγοις,
ἐπιεικῶς τε αὐτῶν προεστώς, ἔπεισε μένειν ἐν τοῖς
προκειμένοις, τούς τε πρέσβεις ἀπράκτους ἀπιέναι
ἐκέλευσεν. ἐλέγετο δὲ τῇ ἐνστάσει τοῦ πολέμου ἐμ-
μεμενηκέναι, πολλῶν ἔνδον ὄντων περὶ θυτικήν τε
καὶ ἡπατοσκοπίαν ἐμπείρων, τά τε ἱερὰ αἴσια ἀπαγ-
γελλόντων· μάλιστα γὰρ τῇ σκέψει ταύτῃ πιστεύου-
σιν Ἰταλιῶται. καὶ χρησμοὶ δέ τινες ἐδίδοντο, ὡς 8
δὴ τοῦ ἐπιχωρίου θεοῦ νίκην ὑπισχνουμένου· Βέλιν
δὲ καλοῦσι τοῦτον, σέβουσί τε ὑπερφυῶς, Ἀπόλ-
λωνα εἶναι ἐθέλοντες. οὗ καὶ τὴν εἰκόνα ἔλεγόν
τινες τῶν Μαξιμίνου στρατιωτῶν φανῆναι πολλά-
κις ἐν ἀέρι, ὑπὲρ τῆς πόλεως μαχομένην. ὅπερ 9
εἴτε ἀληθῶς ἐφαντάσθη τισίν, ἢ καὶ βουλομένοις
μὴ ἀσχημονεῖν τοσοῦτον στρατὸν πρὸς ὄχλον δημο-
τῶν πολὺ ἐλάττονα μὴ ἀντισχόντα, δοκεῖν δὲ ὑπὸ
θεῶν, ἀλλὰ μὴ ὑπὸ ἀνθρώπων νενικῆσθαι, εἰπεῖν
οὐκ ἔχω· τὸ δὲ παράδοξον τῆς ἀποβάσεως ποιεῖ
πάντα πιστεῦσαι.

1 IV. *Πλὴν τῶν πρέσβεων ἀπράκτων πρὸς Μα-
ξιμῖνον ἐπανελθόντων, ὀργῇ καὶ θυμῷ χρώμενος
πλείονι, μᾶλλον ἠπείγετο. ἐπεὶ δὲ ἐγένετο πρός τινι
ποταμῷ μεγίστῳ, ἀπέχοντι τῆς πόλεως σημεῖα ἑκ-
καίδεκα, τὸ ῥεῖθρον εὗρε διά τε μεγίστου βάθους
2 καὶ πλάτους φερόμενον. τῶν γὰρ ὑπερκειμένων ὀρῶν
τὰς δι᾽ ὅλου τοῦ χειμῶνος παγείσας χιόνας λύουσα
ἡ τοῦ ἔτους ὥρα, παμμεγέθη τὸν χειμάῤῥουν εἰργά-
ζετο· ἄπορος οὖν ἦν ἡ διάβασις τῷ στρατῷ. τὴν
γὰρ γέφυραν, ἔργον μέγα καὶ κάλλιστον ὑπὸ τῶν
πάλαι βασιλέων γεγενημένον, ἐκ τετραπέδων λίθων,
πυλίσι κατ᾽ ὀλίγον αὐξανομέναις ὑπειλημμένον, διῃρή-
κεσαν καὶ καταλελύκεσαν οἱ Ἀκυλήσιοι. οὔτε οὖν
γεφύρας οὔσης, οὔτε νεῶν, ὁ στρατὸς ἐν ἀφασίᾳ
3 καθειστήκει. Γερμανοὶ δέ τινες, οὐκ εἰδότες τῶν
Ἰταλιωτῶν ποταμῶν τὰ σφοδρὰ καὶ καταῤῥηγνύμενα
ῥεύματα, οἰόμενοι δὲ σχολαίτερα ἐπινήχεσθαι τοῖς
πεδίοις, ὥςπερ παρ᾽ αὐτοῖς, (διὸ καὶ πήγνυται ῥᾳ-
δίως, μὴ σφοδρῶς κινουμένου τοῦ ῥεύματος·) ἐπεις-
πηδήσαντες ἅμα τοῖς ἵπποις διανήχεσθαι εἰθισμένοις,
παρενεχθέντες ἀπώλοντο.*

*Δύο μὲν οὖν ἢ τριῶν ἡμερῶν σκηνοποιησάμενος
ὁ Μαξιμῖνος, τάφρου τῷ στρατῷ περιβληθείσης,
μή τινες ἐπέλθοιεν, ἔμεινεν ἐπὶ τῇ καθ᾽ αὑτὸν ὄχθῃ,
4 σκεψόμενος ὅπως τὸν ποταμὸν γεφυρώσῃ. ἐπεὶ δὲ
ξύλων ἦν ἀπορία καὶ νεῶν, ἃς ἔδει ζευχθείσας γε-
φυρῶσαι τὸ ῥεῖθρον, ὑπέβαλόν τινες τῶν τεχνιτῶν,
πολλὰ εἶναι κενὰ οἰνοφόρα σκεύη περιφεροῦς ξύλου
ἐν τοῖς ἐρήμοις ἀγροῖς· οἷς ἐχρῶντο μὲν πρότερον
οἱ κατοικοῦντες εἰς ὑπηρεσίαν ἑαυτῶν, καὶ παρα-
πέμπειν τὸν οἶνον ἀσφαλῶς τοῖς δεομένοις. ἅπερ
ὄντα κοῖλα δίκην νεῶν, ἀλλήλοις συνδεθέντα, ἐπινή-
ξεσθαι μὲν ἔμελλεν ὥςπερ σκάφη, μὴ παρενεχθή-
σεσθαι δὲ διά τε τοῦ δεσμοῦ τὸ ἐπάλληλον, φρυγά-
νων τε ἄνωθεν ἐπιβληθέντων, χοῦ τε τῆς γῆς με-
τρίως ἐς αὐτὰ σωρευθέντος χειρὶ πολλῇ καὶ σπουδῇ.
5 ἐφεστῶτος οὖν αὐτοῦ διαβὰς ὁ στρατὸς, ἐπὶ τὴν
πόλιν ἐχώρει. τὰ μὲν οἰκοδομήματα τῶν προαστείων*

ἔρημα εὕρισκον, ἀμπέλους μέντοι καὶ δένδρα πάντα
ἐξέκοπτον· ἃ δὲ ἐνεπίμπρασαν, καὶ τὴν πρότερον
τοῖς χωρίοις ὑπάρχουσαν ὥραν κατῄσχυνον. δέν-
δρων γὰρ στοίχοις ἴσοις ἀμπέλων τε πρὸς ἀλλήλας
θέσει πανταχόθεν ἠρτημένων ἐν ἑορτῆς σχήματι,
στεφάνῳ ἄν τις τὴν χώραν κεκοσμῆσθαι ἐτεκμήρατο·
ἅπερ πάντα ῥιζόθεν ἐκκόψας ὁ στρατὸς, ἐπὶ τὰ
τείχη ἠπείγετο. κεκμηκότι δὲ αὐτῷ προςβαλεῖν εὐ- 6
θέως οὐκ ἔδοξε· μείναντες δὲ ἔξω τοξεύματος, καὶ
διαιρεθέντες κατὰ λόχους καὶ φάλαγγας, περὶ πᾶν
τὸ τεῖχος, ὡς ἑκάστοις κατὰ μέρος προςτέτακτο,
μιᾶς ἡμέρας ἀναπαυσάμενοι, τοῦ λοιποῦ εἴχοντο τῆς
πολιορκίας.

Μηχανάς τε οὖν παντοίας προςέφερον, καὶ
τειχομαχοῦντες παντὶ σθένει, οὐδὲν παρέλειπον
εἶδος πολιορκίας. πολλῶν δὲ καὶ σχεδὸν ἑκάστης 7
ἡμέρας γενομένων προςβολῶν, καὶ παντὸς τοῦ
στρατοῦ ὥςπερ σαγηνεύσαντος τὴν πόλιν, μετὰ
πολλῆς βίας καὶ προθύμου μάχης τειχομαχοῦντες
ἀντεῖχον οἱ Ἀκυλήσιοι· νεὼς μὲν καὶ οἰκίας ἀπο-
κλείσαντες, πανδημεὶ δὲ ἅμα παισὶ καὶ γυναιξὶν
ἄνωθεν ἐπάλξεών τε καὶ πύργων ἀπομαχόμενοι·
οὐδέ τις ἦν οὕτως ἄχρηστος ἡλικία, ὡς μὴ μετέ-
χειν τῆς ὑπὲρ τῆς πατρίδος μάχης. τὰ μὲν γὰρ 8
31 προάστεια, καὶ εἴ τι τῶν πυλῶν ἔξωθεν ἦν, ὑπὸ
τοῦ Μαξιμίνου στρατοῦ κατέστραπτο· τῇ τε ξυλείᾳ
τῶν οἰκοδομημάτων εἰς τὰς μηχανὰς κατεκέχρηντο.
ἐβιάζοντο δὲ τοῦ τείχους κἂν μέρος τι καθελεῖν,
ἵν' ἐπειςελθὼν ὁ στρατὸς πάντα τε διαρπάσῃ, καὶ
κατασκάψας τὴν πόλιν, μηλόβοτον καὶ ἔρημον τὴν
χώραν καταλείπῃ. οὐδὲ γὰρ ἄλλως αὐτῷ τὴν ἐπὶ
Ῥώμην ὁδὸν εὐπρεπῆ καὶ ἔνδοξον ἔσεσθαι, μὴ τῆς
πρώτης ἐν Ἰταλίᾳ πόλεως ἀντιστάσης καθαιρεθεί-
σης. ὑποσχέσεσί τε οὖν δωρεῶν καὶ δεήσεσιν αὐτός 9
τε καὶ ὁ υἱὸς αὐτοῦ, ὃν πεποιήκει Καίσαρα, περι-
θέοντες ἵπποις ἐποχούμενοι, τὸν στρατὸν ἀνέπει-
θον λιπαροῦντες, εἰς προθυμίαν τε ἐγείροντες. οἱ
δὲ Ἀκυλήσιοι λίθοις τε ἔβαλλον ἄνωθεν, καὶ κιρ-

νῶντες θείῳ τε καὶ ἀσφάλτῳ, πίτταν ἑλόντες, κοί-
λοις σκεύεσιν ἐμβαλόντες λαβὰς ἐπιμήκεις ἔχουσι,
καὶ πυρώσαντες, ἅμα τῷ προςπελάζειν τοῖς τεί-
χεσι τὸν στρατὸν, κατεσκεδάννυσαν, καταχέοντες
10 ὄμβρου δίκην ὁμοθυμαδόν. φερομένη δὲ ἡ πίσσα
σὺν οἷς προείρηται, δυομένη τε διὰ τῶν γεγυμνωμέ-
νων μερῶν τοῦ σώματος, εἰς πᾶν ἐχεῖτο, ὥςτε τοὺς
θώρακας αὐτοὺς πεπυρωμένους ἀποῤῥίπτειν καὶ
τὰ λοιπὰ ὅπλα, ὧν ὁ σίδηρος ἐθερμαίνετο, τά τε
ἐκ βυρσῶν τε καὶ ξύλων ἐφλέγετο καὶ συνείλκετο.
ἦν γοῦν ἰδεῖν γεγυμνωμένους τοὺς στρατιώτας αὐ-
τοὺς ἐφ' ἑαυτῶν, καὶ σκύλων ὄψιν ὅπλα παρεῖχεν
ἐῤῥιμμένα, σοφίᾳ τέχνης, ἀλλ' οὐκ ἀνδρείᾳ μάχης
11 περιῃρημένα. ἔκ τε τοῦ τοιούτου πάμπλειστον πλῆ-
θος τοῦ στρατοῦ τάς τε ὄψεις ἐπηροῦντο, καὶ τὸ
πρόςωπον ἠκρωτηριάζετο, [τὰς χεῖρας] καὶ εἴ τι
γυμνὸν ἦν τοῦ σώματος. ἀλλὰ μὴν καὶ ταῖς μη-
χαναῖς προςαγομέναις δᾷδας ἐπέβαλλον, ὁμοίως
πίσσῃ καὶ ῥητίνῃ δεδευμένας, ἐπί τε τῷ ἄκρῳ βε-
λῶν ἀκίδας ἐχούσας· αἳ ἀναφθεῖσαι φερόμεναι,
ἐμπαγεῖσαι ταῖς μηχαναῖς καὶ προςπεφυκυῖαι, ῥᾳ-
δίως αὐτὰς κατέφλεγον.

1 V. Τῶν μὲν οὖν πρώτων ἡμερῶν ἀντίπαλός πως
καὶ ἰσόῤῥοπος ἔμενεν ἡ τύχη τῆς μάχης· χρόνου δὲ
ἐγγινομένου, ὅ τε στρατὸς τοῦ Μαξιμίνου ὀκνηρὸς
ἐγίνετο, καὶ πταίων τῆς ἐλπίδος, ἀθύμως διέκειτο.
οὓς γὰρ ἠλπίκεσαν μηδεμίαν ὑπομενεῖν προςβολὴν,
τούτους εὕρισκον οὐκ ἀντέχοντας μόνον, ἀλλὰ καὶ
2 ἀνθεστῶτας. οἱ δὲ Ἀκυλήσιοι ἐπεῤῥώννυντό τε,
καὶ προθυμίας πάσης ἐνεπίμπλαντο· τῇ τε συνε-
χείᾳ τῆς μάχης, πεῖραν καὶ θάρσος ὁμοῦ προςλαμ-
βάνοντες, κατεφρόνουν τῶν στρατιωτῶν· ὡς καὶ
ἀποσκώπτειν ἐς αὐτοὺς, ἐνυβρίζειν τε τῷ Μαξιμί-
νῳ περινοστοῦντι, εἴς τε αὐτὸν καὶ τὸν παῖδα
ἀποῤῥίπτειν δυσφήμους καὶ αἰσχρὰς βλασφημίας·
ἐφ' αἷς ἐκεῖνος κινούμενος, ὀργῆς μᾶλλον ἐνεπίμ-
3 πλατο. χρῆσθαι δὲ κατὰ τῶν πολεμίων οὐ δυνά-
μενος, ἐκόλαζε τοὺς πλείστους τῶν ἡγουμένων τῶν

ἰδίων στρατιωτῶν, ὡς ἀνάνδρως καὶ ῥαθύμως προσφερομένους τῇ τειχομαχίᾳ. ὅθεν αὐτῷ περιεγένετο πρὸς μὲν τῶν οἰκείων μῖσός τε καὶ ὀργὴ, παρὰ δὲ τῶν ἀντιπάλων πλείων ἡ καταφρόνησις.

Συνέβαινε δὲ τοῖς Ἀκυλησίοις πάντα ὑπάρχειν ἔκπλεα, καὶ ἐπιτηδείων ἀφθονίαν, ἐκ πολλῆς παρασκευῆς εἰς τὴν πόλιν πάντων σεσωρευμένων, ὅσα ἦν ἀνθρώποις καὶ κτήνεσιν εἰς τροφὰς καὶ ποτὰ ἐπιτήδεια· ὁ δὲ στρατὸς πάντων [ἦν] ἐν σπάνει, τῶν τε καρποφόρων δένδρων ἐκκεκομμένων, καὶ
τῆς γῆς ὑπ' αὐτοῦ δεδῃωμένης. μένοντες δὲ ὑπὸ 4
σκηναῖς αὐτοσχεδίοις, οἱ δὲ πλεῖστοι ὑπὸ γυμνῷ τῷ ἀέρι, ὄμβρων τε καὶ ἡλίου ἠνείχοντο, λιμῷ τε διεφθείροντο, μηδὲ ἐπεισάκτου τροφῆς αὐτοῖς τε καὶ ὑποζυγίοις εἰςκομιζομένης. πανταχόθεν γὰρ τὰς τῆς Ἰταλίας ὁδοὺς παραφράξαντες ἦσαν οἱ Ῥωμαῖοι, τειχίων τε ἐγέρσεσι καὶ πυλίδων ἀσκήσεσιν.
ἄνδρας τε ὑπατευκότας ἐξέπεμψεν ἡ Σύγκλητος 5
σὺν ἐπιλέκτοις καὶ λογάσιν ἀπ' Ἰταλίας πάσης ἀνδράσιν, ἵν' αἰγιαλοί τε πάντες καὶ λιμένες φρουρῶνται, καὶ μηδενὶ ἔκπλους συγχωρῆται· ὡς ἄπυστα καὶ ἄγνωστα εἶναι Μαξιμίνῳ τὰ ἐν Ῥώμῃ πραττόμενα· αἵ τε λεωφόροι ὁδοὶ καὶ ἀτραποὶ πᾶσαι ἐφυλάττοντο, ὡς μηδένα διαβαίνειν. συνέβαινε δὲ τὸν στρατὸν, δοκοῦντα πολιορκεῖν, αὐτὸν πολιορκεῖσθαι· ἐπεὶ μήτε τὴν Ἀκυληΐαν ἑλεῖν ἐδύνατο, μήτε ἀποστὰς ἐκεῖθεν, ἐπὶ τὴν Ῥώμην χωρῆσαι, διά τε νηῶν καὶ ὀχημάτων ἀπορίαν· ἅπαντα γὰρ
προκατείληπτο καὶ συνεκέκλειστο. φῆμαι δὲ μεί- 6
ζους ἐξ ὑποψίας ἀληθείας ἐδίδοντο, ὅτι πᾶς ὁ δῆμος ὁ Ῥωμαίων ἐν ὅπλοις εἴη, Ἰταλία τε πᾶσα συμπεπνεύκοι, πάντα τε ἔθνη Ἰλλυρικὰ καὶ βάρβαρα, τά τε ὑπ' ἀνατολαῖς καὶ μεσημβρίαις, στρατὸν ἀγείροι, μιᾷ τε γνώμῃ καὶ ψυχῇ ὁμοίως Μαξιμῖνος μεμίσηται. ὅθεν ἐν ἀπογνώσει ἦσαν καὶ πάντων σπάνει οἱ στρατιῶται, σχεδὸν καὶ ὕδατος
αὐτοῦ. ὃ γὰρ ἦν μόνον ἐκ τοῦ παραῤῥέοντος πο- 7
ταμοῦ ποτὸν, αἵματι καὶ φόνοις μεμιασμένον ἐπί-

νετο. οἵ τε γὰρ Ἀκυλήσιοι τοὺς ἐν τῇ πόλει τελευτῶντας, οὐκ ἔχοντες ὅπως θάψωσιν, ἐς τὸν ποταμὸν ἀπεῤῥίπτουν· οἵ τε ἐν τῷ στρατῷ φονευόμενοι ἢ διαφθειρόμενοι νόσῳ, ἐδίδοντο τῷ ῥεύματι, οὐκ ἐχόντων αὐτῶν τὰ πρὸς ταφὰς ἐπιτήδεια.

8 Παντοδαπῆς οὖν ἀπορίας καὶ δυςθυμίας τὸν στρατὸν κατεχούσης, αἰφνιδίως, ἀναπαυομένου τοῦ Μαξιμίνου ἐν τῇ σκηνῇ, καὶ τῆς ἡμέρας ἐκείνης ἐν ἀνέσει τοῦ πολέμου οὔσης, τῶν τε πλείστων ἐς τὰς σκηνὰς καὶ τὰ ἐγκεχειρισμένα τῆς φρουρᾶς χωρία ἀνακεχωρηκότων, ἔδοξε τοῖς στρατιώταις, οἳ πρὸς τῇ Ῥωμαίων πόλει στρατόπεδον εἶχον ὑπὸ τὸ καλούμενον ὄρος Ἀλβανόν, ἔνθα παῖδας καὶ γυναῖκας καταλελοίπεσαν, φονεῦσαι τὸν Μαξιμῖνον· ὡς παύσαιντο μὲν χρονίου καὶ ἀπεράντου πολιορκίας, μηκέτι δὲ πορθοῖεν Ἰταλίαν ὑπὲρ τυράννου κατεγνωσμένου καὶ μεμισημένου.

9 Τολμήσαντες οὖν ἐπίασι τῇ σκηνῇ αὐτοῦ περὶ μέσην ἡμέραν· συναραμένων δὲ αὐτοῖς καὶ τῶν φρουρούντων δορυφόρων, τάς τε εἰκόνας ἐκ τῶν σημείων κατασπῶσι, καὶ αὐτὸν σὺν τῷ παιδὶ προελθόντα τῆς σκηνῆς, ὡς δὴ ἄρα διαλέξαιτο αὐτοῖς, οὐκ ἀνασχόμενοι ἀναιροῦσι. φονεύουσι δὲ καὶ τὸν ἔπαρχον τοῦ στρατοῦ, πάντας τε τοὺς ἐκείνῳ θυμήρεις φίλους· ῥίψαντές τε τὰ σώματα τοῖς βουλομένοις ἐνυβρίζειν καὶ πατεῖν, εἴασαν κυσί τε καὶ ὄρνισι βοράν. τοῦ δὲ Μαξιμίνου καὶ τοῦ παιδὸς τὰς κεφαλὰς εἰς τὴν Ῥώμην ἔπεμψαν. τοιούτῳ μὲν δὴ τέλει Μαξιμῖνος καὶ ὁ παῖς αὐτοῦ ἐχρήσαντο, δίκας πονηρᾶς ἀρχῆς ὑποσχόντες.

1 VI. Ὁ δὲ στρατὸς πᾶς ὡς ἐπύθετο τὰ γενόμενα, ἔν τε ἀφασίᾳ ἦσαν, καὶ οὐ πάνυ τι τῷ πραχθέντι πάντες ἠρέσκοντο· καὶ μάλιστά γε οἱ Παίονες καὶ ὅσοι βάρβαροι Θρᾷκες, οἳ καὶ τὴν ἀρχὴν αὐτῷ ἐγκεχειρίκεσαν. πλὴν τοῦ ἔργου ἅπαξ γεγονότος,
2 ἄκοντες μέν, ἔφερον δέ· ἀνάγκη τε ἦν συνήδεσθαι τοῖς πραχθεῖσιν ὑποκρινομένοις. καταθέμενοί τε τὰ ὅπλα, ἐν εἰρηνικῷ σχήματι προςῄεσαν τοῖς τεί-

χεσι τοῖς Ἀκυλησίων, ἀγγέλλοντες τὸν φόνον τοῦ
Μαξιμίνου· τὰς δὲ πύλας ἀνοίγειν ἠξίουν, δέχε-
σθαί τε φίλους τοὺς χθὲς ἐχθρούς. οἱ δὲ τῶν
Ἀκυλησίων στρατηγοὶ τὰς μὲν πύλας ἀνοῖξαι οὐκ
ἐπέτρεψαν, προθέντες δὲ τὰς εἰκόνας Μαξίμου καὶ
Βαλβίνου, Γορδιανοῦ τε Καίσαρος, στεφάνοις καὶ
δάφναις κεκοσμημένας, αὐτοί τε εὐφήμουν, καὶ
τοὺς στρατιώτας ἠξίουν γνωρίσαι καὶ ἀνειπεῖν, εὐ-
φημῆσαί τε τοὺς ὑπὸ Ῥωμαίων Συγκλήτου ἀναδει-
χθέντας αὐτοκράτορας. Γορδιανοὺς δὲ ἔλεγον ἐκεί- 3
νους εἰς οὐρανὸν καὶ θεὸν ἀνακεχωρηκέναι. προὔ-
θεσάν τε ὑπὲρ τῶν τειχῶν ἀγοράν, ὤνιον παρέ-
χοντες πάντων τῶν ἐπιτηδείων, τροφῶν τε παν-
τοδαπῶν καὶ ποτῶν ἀφθονίαν, ἐσθῆτός τε καὶ
ὑποδημάτων, καὶ ὅσα ἐδύνατο παρέχειν εἰς χρῆ-
σιν ἀνθρώποις πόλις εὐδαιμονοῦσα καὶ ἀκμάζουσα.
ὅθεν καὶ μᾶλλον ἐξεπλάγη ὁ στρατός, συνεὶς ὅτι 4
τοῖς μὲν πάντα αὐτάρκη ἦν, εἰ καὶ ἐπὶ πλέον πο-
λιορκοῖντο, αὐτοὶ δὲ ἐν σπάνει πάντων τῶν ἐπιτη-
δείων θᾶττον διεφθάρησαν, ἢ εἷλον πάντα ἔχου-
σαν πόλιν. ὁ δὲ στρατὸς ἔμενε παρὰ τοῖς τείχε-
σιν, ἔχων τὰ χρειώδη, ἅπερ ἀπὸ τῶν τειχῶν
ἐλάμβανον, ὅσα ἕκαστος ἐβούλετο· διελέγοντό τε
ἀλλήλοις. καὶ ἦν εἰρήνης μὲν καὶ φιλίας διάθε-
σις, σχῆμα δὲ ἔτι πολιορκίας, τῶν τειχῶν κεκλει-
σμένων καὶ τοῦ στρατοῦ περὶ αὐτὰ διαιτωμένου.

Τὰ μὲν οὖν κατὰ τὴν Ἀκυληΐαν ἐν τούτοις ἦν. 5
οἱ δ' ἱππεῖς οἱ τὴν Μαξιμίνου κεφαλὴν κομίζοντες
ἀπὸ τῆς Ἀκυληΐας, ὁδοιπόρησάν τε μετὰ πάσης
ἐπείξεως, καὶ ἐπιφοιτῶσιν αὐτοῖς τὰς λοιπὰς πό-
λεις πύλαι ἀνοίγνυντο, καὶ δαφνηφοροῦντες αὐτοὺς
οἱ δῆμοι ὑπεδέχοντο. ὡς δὲ διέπλευσαν τάς τε λί-
μνας καὶ τενάγη μεταξὺ Ἀλτίνου καὶ Ῥαβέννης,
περιέτυχον Μαξίμῳ αὐτοκράτορι, διατρίβοντι ἐν
Ῥαβέννῃ· ἔνθα τούς τε ἀπὸ Ῥώμης ἐπιλέκτους
καὶ τοὺς ἀπὸ τῆς Ἰταλίας λογάδας ἤθροιζεν. ἀφῖ- 6
κτο δὲ αὐτῷ καὶ Γερμανῶν οὐκ ὀλίγη συμμαχία,
πεμφθεῖσα ὑπ' αὐτῶν κατ' εὔνοιαν, ἣν εἶχον πρὸς

αὐτὸν ἄνωθεν, ἐξ οὗπερ ἦν αὐτῶν ἐπιμελῶς ἄρξας παρασκευάζοντι οὖν αὐτῷ τὴν δύναμιν ὡς πολεμήσουσαν τῷ Μαξιμίνου στρατῷ, προςίασιν οἱ ἱππεῖς, τὴν κεφαλὴν τοῦ τε Μαξιμίνου καὶ τοῦ παιδὸς φέροντες, νίκην τε καὶ εὐπραγίαν ἀγγέλλοντες, ὅτι τε ἄρα ὁ στρατὸς τὰ Ῥωμαίων φρονεῖ, καὶ σέβει
7 αὐτοκράτορας, οὓς ἡ Σύγκλητος ἐποίησε. τούτων δὲ παρ' ἐλπίδα ἀγγελθέντων, θυσίαι τε βωμοῖς εὐθὺς προςήγοντο, καὶ νίκην ἐπαιάνιζον πάντες ἣν ἀκονιτὶ ἐνίκησαν· ὁ δὲ Μάξιμος καλλιερήσας, ἐκπέμπει τοὺς ἱππεῖς εἰς τὴν Ῥώμην ἀγγελοῦντάς τε τὰ πραχθέντα τῷ δήμῳ καὶ τὴν κεφαλὴν κομίσοντας. ἐπεὶ δὲ ἀφίκοντο, εἰςέπεσόν τε εἰς τὴν πόλιν, δεικνύντες τὴν κεφαλὴν τοῦ πολεμίου ἀνεσκολοπισμένην, ὡς πᾶσι περίοπτος εἴη, οὐδ' εἰπεῖν ἐστὶ
8 λόγῳ τῆς ἡμέρας ἐκείνης τὴν ἑορτήν. οὔτε γὰρ ἡλικία τις ἦν, ἣ μὴ πρὸς τοὺς βωμούς τε καὶ τὰ ἱερὰ ἠπείγετο· οὔτε τις ἔμενεν οἴκοι, ἀλλ' ὥςπερ ἐνθουσιῶντες ἐφέροντο, συνηδόμενοί τε ἀλλήλοις, καὶ ἐς τὸν ἱππόδρομον συνθέοντες ὥςπερ ἐκκλησιάζοντες χωρίῳ. ὁ δὲ Βαλβῖνος καὶ αὐτὸς ἑκατόμβας ἔθυεν· ἀρχαί τε πᾶσαι καὶ Σύγκλητος, ἕκαστός τε ὥςπερ ἀποσεισάμενος πέλεκυν τοῖς αὐχέσιν ἐπικείμενον, ὑπερευφραίνετο· ἔς τε τὰ ἔθνη ἄγγελοι καὶ κήρυκες δαφνηφόροι διεπέμποντο.

1 VII. Καὶ τὰ μὲν κατὰ τὴν Ῥώμην ἑορτῆς εἶχεν οὕτως. ὁ δὲ Μάξιμος ἀπὸ τῆς Ῥαβέννης ἄρας, ἐπέστη Ἀκυληΐᾳ, διαβὰς τὰ τενάγη, ἅ τε ὑπὸ Ἠριδανοῦ ποταμοῦ πληρούμενα καὶ τῶν περικειμένων ἑλῶν, ἑπτὰ στόμασιν ἐς θάλατταν ἐκχεῖται· ἔνθεν καὶ τῇ φωνῇ καλοῦσιν οἱ ἐπιχώριοι Ἑπτὰ
2 πελάγη τὴν λίμνην ἐκείνην. εὐθὺς οὖν οἱ Ἀκυλήσιοι τὰς πύλας ἀνοίξαντες ὑπεδέχοντο, αἵ τε ἀπὸ Ἰταλίας πόλεις πρεσβείας ἔπεμπον ἀπὸ τῶν πρωτευόντων παρ' αὐτοῖς ἀνδρῶν· οἳ λευχειμονοῦντες καὶ δαφνηφόροι, θεῶν πατρίων ἕκαστοι προςεκόμιζον ἀγάλματα, καὶ εἴ τινες ἦσαν στέφανοι χρυσοῦ ἐξ ἀναθημάτων, εὐφήμουν τε καὶ ἐφυλλοβό-

λουν τὸν Μάξιμον. ὁ δὲ στρατὸς τὴν Ἀκυληΐαν
πολιορκήσας προσῄει καὶ αὐτὸς ἐν εἰρηνικῷ σχήμα-
τι δαφνηφόρος, οὐκ ἐξ ἀληθοῦς μὲν διαθέσεως πᾶς,
προσποιήτῳ δὲ εὐνοίᾳ καὶ τιμῇ, διὰ τὴν παροῦσαν
ἐξ ἀνάγκης τῆς βασιλείας τύχην. οἱ πλεῖστοι γὰρ 3
αὐτῶν ἠγανάκτουν καὶ λανθανόντως ἤλγουν, τὸν
μὲν ὑπ' αὐτῶν ἐπιλεχθέντα βασιλέα, καθῃρημέ-
νον, κρατοῦντας δὲ τοὺς ὑπὸ Συγκλήτου ᾑρημένους.
ὁ δὲ Μάξιμος, ἐν τῇ Ἀκυληΐᾳ γενόμενος, πρώ-
της μὲν καὶ δευτέρας ἡμέρας ἱερουργίαις ἐσχόλαζε,
τῇ δὲ τρίτῃ τῶν ἡμερῶν συγκαλέσας ἐς τὸ πεδίον
πάντα τὸν στρατόν, βήματός τε αὐτῷ κατασκευα-
σθέντος, ἔλεξε τοιάδε·

„Ὅσον μὲν ὑμᾶς ὤνησε μεταγνόντας τε καὶ 4
τὰ Ῥωμαίων φρονήσαντας, πείρᾳ μεμαθήκατε,
ἀντὶ πολέμου μὲν εἰρήνην ἔχοντες, πρὸς θεούς, οὓς
ὀμωμόκατε, καὶ νῦν φυλάσσοντες τὸν στρατιωτι-
κὸν ὅρκον, ὅς ἐστι τῆς Ῥωμαίων ἀρχῆς σεμνὸν μυ-
στήριον. χρὴ δὲ ὑμᾶς καὶ τοῦ λοιποῦ διὰ παντὸς
τούτων ἀπολαύειν, τὰ πιστὰ τηροῦντας Ῥωμαίοις
τε καὶ Συγκλήτῳ καὶ αὐτοκράτορσιν ἡμῖν· οὓς ἐξ
εὐγενείας καὶ πολλῶν πράξεων καὶ μακρᾶς διαδο-
χῆς, ὥσπερ κατ' ἀκολουθίαν ἐπὶ τοῦτο ἀναβάν-
τας, κρίναντες ὁ δῆμος καὶ ἡ Σύγκλητος ἐπελέξα-
το. οὐ γὰρ ἑνὸς ἀνδρὸς ἴδιον κτῆμα ἡ ἀρχή, ἀλλὰ 5
κοινὸν τοῦ Ῥωμαίων δήμου ἄνωθεν, καὶ ἐν ἐκείνῃ
τῇ πόλει ἡ τῆς βασιλείας ἵδρυται τύχη· ἡμεῖς δὲ
διοικεῖν καὶ διέπειν τὰ τῆς ἀρχῆς σὺν ὑμῖν ἐγκεχει-
ρίσμεθα. ταῦτα δὲ μετ' εὐταξίας τε καὶ κόσμου
τοῦ πρέποντος, αἰδοῦς τε καὶ τιμῆς πρὸς τοὺς ἄρ-
χοντας, ὑμῖν μὲν εὐδαίμονα καὶ πάντων ἀνενδεῆ
παρέξει βίον, τοῖς δ' ἄλλοις πᾶσιν ἀνθρώποις, κα-
τά τε ἔθνη καὶ κατὰ πόλεις, εἰρήνην καὶ πρὸς τοὺς
ἡγουμένους πειθώ. βιώσεσθέ τε καὶ κατὰ γνώμην
ἐν τοῖς οἰκείοις, οὐκ ἐν ἀλλοδαπῇ κακοπαθοῦντες.
ὑπὲρ δὲ τοῦ καὶ τὰ βάρβαρα ἡσυχάζειν ἔθνη, διὰ 6
φροντίδος ἡμεῖς ἕξομεν. δύο μὲν γὰρ ὄντων βασι-
λέων, εὐμαρέστερον καὶ τὰ ἐν τῇ Ῥώμῃ διοικήσε-

ται, καὶ εἴ τι ἐπὶ τῆς ἀλλοδαπῆς ἐπείγοι, πρὸς τὴν χρείαν ἀεί του πρὸς τὰ καλοῦντα ῥᾳδίως παρόντος. μηδέ τις ὑμῶν οἰέσθω τῶν πεπραγμένων εἶναι τινὰ μνήμην, εἴτε ὑφ᾽ ἡμῶν, (ἐκελεύεσθε γάρ,) εἴτε ὑπὸ Ῥωμαίων, ἢ τῶν ἄλλων ἐθνῶν, οἳ ἀδικούμενοι ἀπέστησαν· ἀλλὰ γὰρ ἔστω πάντων ἀμνηστία, καὶ σπονδαὶ φιλίας βεβαίου, εὐνοίας τε καὶ εὐκοσμίας πίστις αἰώνιος."

7 Τοιαῦτά τινα εἰπὼν ὁ Μάξιμος, νομάς τε χρημάτων μεγαλοφρόνως αὐτοῖς ἐπαγγείλας, ὀλίγων ἡμερῶν ἐνδιατρίψας ἐν τῇ Ἀκυληΐᾳ, τὴν ἐς Ῥώμην ἐπάνοδον συγκροτεῖ. καὶ τὸ μὲν ἄλλο στρατιωτικὸν ἀπέπεμψεν ἔς τε τὰ ἔθνη καὶ τὰ οἰκεῖα στρατόπεδα· αὐτὸς δὲ ἐπανῆλθεν ἐς τὴν Ῥώμην, σύν τε τοῖς δορυφόροις, οἳ τὴν βασίλειον φρουροῦσιν ἀρχήν, σύν τε τοῖς ὑπὸ Βαλβίνῳ στρατευομένοις.
8 ἐπανῆλθον δὲ καὶ οἱ ἀπὸ Γερμανίας ἐληλυθότες σύμμαχοι· ἐθάρσει γὰρ αὐτῶν τῇ εὐνοίᾳ, ἅτε καὶ τοῦ ἔθνους ἐπιεικῶς πρότερον ἄρξας, ὅτε ἰδιώτευεν. εἰσιόντι δὲ αὐτῷ ἐς τὴν Ῥώμην ὅ τε Βαλβῖνος ὑπήντετο, ἐπαγόμενος Γορδιανὸν Καίσαρα· ἥ τε Σύγκλητος καὶ ὁ δῆμος εὐφημοῦντες, ὥςπερ θριαμβεύοντας, ὑπεδέχοντο.

1 VIII. Ἦρχον δὲ τοῦ λοιποῦ τῆς πόλεως μετὰ πάσης εὐταξίας καὶ εὐκοσμίας, ἰδίᾳ τε καὶ δημοσίᾳ πανταχοῦ εὐφημούμενοι· ἔχαιρέ τε ὁ δῆμος αὐτοῖς, σεμνυνόμενος εὐπατρίδαις καὶ ἀξίοις τῆς βασιλείας αὐτοκράτορσιν. οἱ μέντοι στρατιῶται διοίδαινον τὰς ψυχάς, καὶ οὔτε ταῖς εὐφημίαις τοῦ δήμου ἠρέσκοντο, ἐβαροῦντό τε αὐτῶν αὐτὴν τὴν εὐγένειαν, καὶ ἠγανάκτουν ὅτι ἄρα ἔχοιεν ἐκ Συγκλήτου βασιλέας.
2 ἐλύπουν δὲ αὐτοὺς καὶ οἱ Γερμανοὶ παρόντες τῷ Μαξίμῳ, ἔν τε τῇ Ῥώμῃ διατρίβοντες. ἀντιπάλους γὰρ ἕξειν ἤλπιζον, εἴ τι τολμῷεν, καὶ ἐφεδρεύειν αὐτοῖς ὑπώπτευον, εἴ τινι δόλῳ ἀποζωσθεῖεν ἐκεῖνο, καὶ ἅτε παρόντες ῥᾳδίως ὑποκατασταῖεν· τό τε Σεβήρου ὑπόδειγμα, ὃς τοὺς Περτίνακα ἀποκτείναντας ἀπέζωσεν, εἰςῄει αὐτούς.

Ἐπιτελουμένου δὲ ἀγῶνος τοῦ τῶν Καπετω- 3
λίων, πάντων τε περὶ τὴν πανήγυριν καὶ τὰς θέας ἀσχολουμένων, αἰφνιδίως, ἣν εἶχον γνώμην λανθάνουσαν, ἐξέφηναν· καὶ τοῦ θυμοῦ μὴ κρατήσαντες, ὁρμῇ δὲ ἀλόγῳ χρησάμενοι, ἀνῆλθον ὁμοθυμαδὸν εἰς τὰ βασίλεια, τοῖς τε πρεσβύταις βασιλεῦσιν
ἐπεισῆλθον. συνέβαινε δὲ, κἀκείνους μὴ πάνυ τι 4
ἀλλήλοις ὁμονοεῖν, ἀλλ', οἷάπερ μοναρχίας ἐπιθυμία, καὶ τὸ ἀκοινώνητον ἐν ταῖς ἐξουσίαις, ἕκαστος πρὸς αὑτὸν τὴν δύναμιν ἀνθεῖλκεν· ὁ μὲν Βαλβῖνος, κατ' εὐγένειαν καὶ διπλῆν προάγουσαν ὑπατείαν πρωτεύειν ἀξιῶν, ὁ δὲ Μάξιμος, διά τε τὸ ἔπαρχον τῆς πόλεως γεγονέναι, καὶ ἔχειν ὑπολήψεις ἐμπειρίας πραγμάτων· ἑκατέρωθέν τε εὐγενεῖς εὐπατρίδαι, καὶ γένους πλῆθος αὔταρκες εἰς ἐπιθυμίαν μοναρχίας ἔπειθεν· ὅπερ αὐτοῖς καὶ
μάλιστα γέγονεν ἀπωλείας αἴτιον. ὡς γὰρ ἐπύθε- 5
το ὁ Μάξιμος ἀφικνεῖσθαι ἐπ' ὀλέθρῳ αὐτῶν τοὺς πραιτωριανοὺς καλουμένους, ἐβούλετο μεταπέμψασθαι τοὺς Γερμανοὺς συμμάχους, ὄντας ἐν Ῥώμῃ, αὐτάρκεις ἐσομένους ἀντιστῆναι τοῖς ἐπιβουλεύουσιν. ὁ δὲ Βαλβῖνος, οἰόμενος δόλον τινὰ εἶναι καθ' αὑτοῦ καὶ σόφισμα, (ᾔδει γὰρ τοὺς Γερμανοὺς τῷ Μαξίμῳ εὐνοοῦντας,) ἐκώλυε, φάσκων οὐκ ἐς κωλύμην οὐδ' ἐς ἀντίστασιν αὐτοὺς τῶν πραιτωριανῶν ἀφίξεσθαι, ἀλλ' ἐς τὸ περιποιῆσαι τῷ
Μαξίμῳ τὴν μοναρχίαν. ἐν ᾧ δὲ περὶ τούτων δια- 6
φέρονται, εἰσδραμόντες οἱ στρατιῶται ὁμοθυμαδὸν ἅπαντες, ἐκστάντων αὐτοῖς τῶν περὶ τὰς αὐλείας εἰσόδους φυλαττόντων, ἁρπάζουσι τοὺς πρεσβύτας· περιῤῥήξαντες δὲ ἃς εἶχον περὶ τοῖς σώμασιν ἐσθῆτας λιτὰς, ἅτ' οἴκοι διατρίβοντες, γυμνοὺς τῆς βασιλείου αὐλῆς ἐξέλκουσι μετὰ πάσης αἰσχύνης καὶ ὕβρεως, παίοντές τε καὶ ἀποσκώπτοντες τοὺς ἀπὸ Συγκλήτου βασιλέας, γενείων τε καὶ ὀφρύων σπαραγμοῖς, καὶ πάσαις ταῖς τοῦ σώματος λώβαις ἐμπαροινοῦντες, διὰ μέσης τῆς πόλεως ἐπὶ τὸ στρατόπεδον ἀπῆγον· οὐ θελήσαντες οὐδ' ἐν τοῖς βασιλείοις

ἀποκτεῖναι, ἀλλὰ ζῶσιν ἐνυβρίσαι, ἵν' ἐπιπλέον
7 ὧν πάσχουσιν αἴσθοιντο. ἐπεὶ δὲ ταῦτα πυθόμε-
νοι οἱ Γερμανοί, λαβόντες ὅπλα, ἠπείγοντο ὡς ἀμυ-
νοῦντες αὐτοῖς, μαθόντες οἱ πραιτωριανοὶ ἀφικνου-
μένους, φονεύουσιν ἤδη πᾶν τὸ σῶμα λελωβημένους
τοὺς βασιλέας. καὶ καταλιπόντες τὰ σώματα ἐῤ-
ῥιμμένα ἐπὶ τῆς λεωφόρου, ἀράμενοι δὲ τὸν Γορδια-
νόν, Καίσαρα ὄντα. αὐτοκράτορά τε ἀναγορεύσαν-
τες, ἐπειδὴ πρὸς τὸ παρὸν ἄλλον οὐχ εὗρον, βοῶν-
τές τε πρὸς δῆμον ὅτι ἄρα εἴησαν ἀπεκτονότες, οὓς
ὁ δῆμος οὐκ ἐβούλετο ἐν ἀρχῇ ἄρξαι, Γορδιανόν τε
ἐπελέξαντο, ἐκείνου τε ἀπόγονον, καὶ ὃν αὐτοὶ Ῥω-
μαῖοι ἐξεβιάσαντο· ἔχοντες αὐτόν, ἀπελθόντες ἐς
τὸ στρατόπεδον, συγκλείσαντες τὰς πύλας, ἡσύ-
χαζον. οἱ δὲ Γερμανοὶ μαθόντες ἀνῃρημένους τε καὶ
ἐῤῥιμμένους, ὧν χάριν ἠπείγοντο, οὐχ ἑλόμενοι
πόλεμον μάταιον ὑπὲρ ἀνδρῶν τεθνηκότων, ἐπα-
νῆλθον εἰς τὸ ἑαυτῶν καταγώγιον.

8 Τέλει μὲν δὴ τοιούτῳ ἐχρήσαντο ἀναξίῳ τε
ἅμα καὶ ἀνοσίῳ σεμνοὶ καὶ λόγου ἄξιοι πρεσβῦται,
εὐγενεῖς τε καὶ κατ' ἀξίαν ἐπὶ τὴν ἀρχὴν ἐληλυθό-
τες. ὁ δὲ Γορδιανός, περὶ ἔτη που γεγονὼς τρισ-
καίδεκα, αὐτοκράτωρ τε ἀνεδείχθη, καὶ τὴν Ῥω-
μαίων ἀρχὴν ἀνεδέξατο.

Bibliotheca classica graeca, cur. typoth. ger. G. H. Schaefero. 8 min. Lipsiae ap. J. A. G. Weigel.

Der Beyfall, den diese Ausgabe nicht allein in Deutschland, sondern auch im Auslande fand, und welche Coray noch neuerlich seinen Landsleuten empfahl, verpflichtet mich, nichts zu sparen, was ihr neben einem guten Aeussern einen bleibenden Werth sichern kann. Von der Correctheit, die man ihrem um die alte Literatur so verdienten Herausgeber verdankt, werden sich die überzeugen, welche sie gebrauchen. Aber nicht die Correctheit allein ist es, die diese Ausgabe auszeichnet, auch mehrere neue Recensionen der Texte erhöhen ihren Werth. Bei mehrern Schriftstellern sind die Seitenzahlen früherer oft citirter Editionen aufgeführt, die Verszahlen bei den Dichtern zur Seite gesetzt, und über den Capiteln der Prosaiker findet man die latein. Argumente, so daß sich aufs bequemste auffinden läßt. Griechische Scholien werden eine neue Sammlung bilden, wovon der erste Band, welcher Procli Scholia in Platonis Cratylum mit Noten von Boissonade enthält, kürzlich erschien.

Jede neue Ausgabe eines Schriftstellers soll durch einen critischen Werth ausgezeichnet werden, wobei mein bedeutender Vorrath an Collationen und meine Verbindungen mich hinreichend unterstützen.

In der Folge der Prosaiker sind die Werke des Plato unter der Presse, sie werden aus 8 Bänden bestehen, und eben so gering im Preiße seyn, als die übrigen Bände dieser Sammlung, obgleich mein Aufwand dabei beträchtlich ist. Die Seitenzahlen der Steph. Ausgabe werden beygesetzt. Zugleich erscheint eine Ausgabe auf feines großes Papier abgezogen, welche den crit. Apparat enthält, den ich seit 10 Jahren mit bedeutenden Kosten zusammengebracht habe. Diese Ausgabe kann aber in Bänden nicht vereinzelt werden, wie es der Fall bey denen ist, welche in der Bändefolge der Bibliotheca graeca fortgehen. Und so glaube ich den Wünschen so vieler ausgezeichneter Gelehrten und Schulmänner bey dem ganzen Unternehmen ferner zu entsprechen, die durch Empfehlung dem Absatze so förderlich waren, und welchen ich dankbar mich verbunden fühle.

Bis jetzt erschienen: *Poetae.*

Tom. I. Aeschylus - - - - 18 gr.
- II. Theocritus, Bion et Moschus - 12 -
- III. Poetae gnomici - - - 12 -
- IV. Callimachus - - - 6 -
- V. Anacreontica cum aliis Lyricis 6 -
- VI. Apollonius Rhodius - - 12 -
- VII. Orphica - - - - 12 -
- VIII. Hesiodus - - - - 6 -
- IX. Sophocles - - - - 1 Thlr.
- X. XI. Aristophanes 2 Tomi. - 2 -
- XII - XIV. Euripides e rec. A. Matthiae 3 Tomi mit den ausführl. Argumenten der großen Ausg. 2 Thlr.
Tom. XV - XVIII. Homerus. 4 Tomi - 2 Thlr.

*Scriptores Prosaici.*

Tom. I. Aeschines - - - - 12 gr.
- II. Xenophontis Cyropaedia - 12 -
- III. — Oeconomicus etc. - 9 -
- IV - VI. Pausanias, e nova rec. Siebelis. 3 Tomi mit den Seitenzahlen der Kuhnischen Ausg. 2 Thlr. 3 gr.
Tom. VII - IX. Herodotus. 3 Tomi 2 - 3 -
- X. Xenophontis Expeditio Cyri - 12 gr.
- XI. — Historia graeca - - - 12 -
- XII. — Memorabilia - - - 9 -
- XIII. — Opuscula polit. equestr. et ven. 8 gr.
- XIV. XV. Thucydides. 2 Tomi. 1 Thlr. 12 -
- XVI - XXIV. Plutarchi vitae parall. e recogn. Schaeferi. Tom. I. - IX. mit den Seitenzahlen der Frankfurt. Ausgabe in Folio. - - 4 Thlr. 12 gr.
Tom. XXV. Herodianus - - - 12 -
- XXVI. Plato. T. I. verbess. Text nach den Flor. Paris. Wien. und andern Handschr. von G. Stallbaum. Mit den Seitenzahlen der Stephan. Ausgabe - - - 18 gr.

*Scholia.*

Tom. I. Procli Scholia in Platonis Cratyl. ed. et not. adi. Boissonade - 12 gr.

Zunächst wird ausgegeben Demosthenes mit den Seitenzahlen der Reisk. Edition.

Die bisher erschienenen Bände sind auch auf schönes Velinpapier zu haben, aber wegen der kleinen Auflage können einzelne Bände nicht abgegeben werden. Leipzig im July 1821. J. A. G. Weigel.